οά. Ταφαὶ δὲ τῶν βασιλήων ἐν Γέρροισι εἰσί. ἐς ὃ ὁ Βορυσθένης ἐστὶ προσπλωτὸς, ἐνθαῦτα ἐπεάν σφι ἀποθάνῃ ὁ βασιλεὺς, ὄρυγμα γῆς μέγα ὀρύσσουσι τετράγωνον. ἑτοῖμον δὲ τοῦτο ποιήσαντες, ἀναλαμβάνουσι τὸν νεκρὸν, κατακεκηρωμέ-

[f] ἀποκλέῃσι.

νον μὲν τὸ σῶμα· τὴν δὲ νηδὺν ἀναχισθεῖσαν, καὶ καθαρθεῖσαν, πλέην κυπέρου κεκομμένου, καὶ θυμιήματος, καὶ σελίνου σπέρματος, καὶ ἀνήσου, συνερραμμένην ὀπίσω, καὶ κομίζουσι ἐν ἁμάξῃ ἐς ἄλλο ἔθνος. οἱ δ' ἂν παραδέξωνται κομισθέντα τὸν νεκρὸν, ποιεῦσι τάπερ οἱ βασιλήϊοι Σκύθαι· τοῦ ὠτὸς ἀποτάμνονται, τρίχας περικείρονται, βραχίονας περιτάμνονται [a], μέτωπον καὶ ῥῖνα καταμύσσονται, διὰ τῆς τε ἀριστερῆς χειρὸς ὀϊστοὺς διαβυνέονται. ἐνθεῦτεν δὲ κομίζουσι ἐν ἁμάξῃ τὸν νέκυν τοῦ βασιλέος ἐς ἄλλο ἔθνος τῶν ἄρχουσι. οἱ δέ σφι ἕπονται, ἐς τοὺς πρότερον ἦλθον. ἐπεὰν δὲ πάντας περιέλθωσι τὸν νέκυν κομίζοντες, ἐν Γέρροισι ἔχαλα καλοικημένοισι εἰσὶ τῶν ἐθνέων τῶν ἄρχουσι, καὶ ἐν τῇσι ταφῇσι. καὶ ἔπειτα ἐπεὰν θέωσι τὸν νέκυν ἐν τῇσι θήκῃσι ἐπὶ σιβάδος, παραπήξαντες αἰχμὰς ἔνθεν καὶ ἔνθεν τοῦ νεκροῦ, ξύλα ὑπερτείνουσι, καὶ ἔπειτα ῥιψὶ καταστεγάζουσι. ἐν δὲ τῇ λοιπῇ εὐρυχωρίῃ τῆς

a Haec quatuor verba τρίχας περικείρονται, βραχίονας περιτάμνονται non ſunt in MS.

Digitized by Google

que expurgata, quam ſilere contuſo et thymiamate apiique ſemine et aniſi quum expleverunt, conſuunt rurſus, et in plauſtro ad aliam gentem ferunt. Qui vero delatum cadaver excipiunt, eadem agunt quae regii Scythae: auris aliquid decidunt, crinem circumtondent, brachia circumcidunt, frontem naſumque conſaucient, ſiniſtram manum ſagittis trajiciunt. Poſtmodum regis cadaver in plauſtro ferunt ad aliam gentem cui imperitant, quae ipſos comitatur ad eos unde primum venerant. Ubi jam mortuum ferentes, luſtraverunt univerſas gentes, in Gerrhis extrema habitantibus ſunt gentium, quibus imperant, et in his ſepulchris. Quem poſtquam in loculis poſuerunt ſuper torum, mucronibus hinc atque hinc defixis, deſuper ligna extendunt, ac deinde ſalignis ramis contegunt. In reliqua loculi ſpatioſitate aliquam ejus pallacam ſtrangula-

Digitized by Google

tam ſepeliunt, et pincernam, et cocum, et equiſonem, et miniſtrum, et internuncium, nec non equos et aliarum rerum omnium primitias, quinetiam phialas aureas. nam argentum aut aes in uſu non habent. His actis, humum certatim atque avide injiciunt, cupientes tumulum quam maximum efficere.

72. Circumacto anno, rurſus hoc agunt: E famulis reliquis aptiſſimos ſumunt. ſunt autem hi ingenui Scythae; illi enim ſerviunt, quos ipſe rex juſſerit. nam pecunia emptos ſervos non habent. Horum miniſtrorum quinquaginta quum ſtrangulaverunt ac totidem praeſtantiſſimos equos, alvo eorum exempta et expurgata, paleis implent, ac conſuunt: et ubi dimidium fornicis ſuper duo ligna, dimidium ſupinum ſtatuentes, alterumque dimidium fornicis ſuper altera duo ligna,

Digitized by Google

θήκης, τῶν παλλακέων τε μίην ἀποπνίξαντες θάπτουσι, καὶ τὸν οἰνοχόον, καὶ μάγειρον, καὶ ἱπποκόμον, καὶ διηκόνον, καὶ ἀγγελιηφόρον, καὶ ἵππους, καὶ τῶν ἄλλων ἁπάντων ἀπαρχὰς, καὶ φιάλας χρυσέας. ἀργύρῳ δὲ οὐδὲν οὐδὲ χαλκῷ χρέωνται. ταῦτα δὲ ποιήσαντες, χώσι πάντες χῶμα μέγα, ἁμιλλώμενοι, καὶ προθυμεόμενοι ὡς μέγιστον ποιῆσαι.

οϚ'. Ἐνιαυτοῦ δὲ περιφερομένου, αὖτις ποιεῦσι τοιόνδε. λαβόντες τῶν λοιπῶν θεραπόντων τοὺς ἐπιτηδεωτάτους· οἵδε εἰσὶ Σκύθαι ἐγγενέες· ἕτοιμοι γάρ εἰσι θεραπεύοντες τοὺς ἂν αὐτὸς ὁ βασιλεὺς κελεύσῃ, ἀργυρώνητοι δὲ οὐκ εἰσί σφι θεράποντες· τουτέων ὦν τῶν διηκόνων ἐπεὰν ἀποπνίξωσι πεντήκοντα, καὶ ἵππους τοὺς καλλίστους πεντήκοντα, ἐξελόντες αὐτέων τὴν κοιλίην, καὶ καθήραντες, ἐμπιπλᾶσι ἀχύρων, καὶ συρράπτουσι. ἀψίδος δὲ ἥμισυ ἐπὶ ξύλα δύο, ἥμισυ στήσαντες ὕπλιον, καὶ τὸ ἕτερον ἥμισυ τῆς ἀψίδος ἐπ' ἕτερα δύο καταπήξαντες

τρόπῳ τοιούτῳ, πολλὰ ταῦτα ἔπειλα τῶν ἵππων καλαμήκεα ξύλα παχέα διελάσαντες μέχρι τῶν τραχήλων, ἀναβιβάζονται [b] αὐτοὺς ἐπὶ τὰς ἀψίδας. τῶν δὲ, αἱ μὲν πρότεραι ἀψίδες ὑπέχουσι [c] τοὺς ὤμους τῶν ἵππων· αἱ δὲ, ὅπισθεν παρὰ τοὺς μηροὺς, τὰς γαστέρας ὑπολαμβάνουσι· σκέλεα δὲ ἀμφότερα κατακρέμαται μετέωρα. χαλινοὺς δὲ καὶ στόμια ἐμβαλόντες ἐς τοὺς ἵππους, κατατείνουσι ἐς τὸ πρόσθεν αὐτέων, καὶ ἔπειτα ἐκ παστάλων δέουσι. τῶν δὲ δὴ νεηνισκων τῶν ἀποπεπνιγμένων τῶν πεντήκοντα ἕνα ἕκαστον ἀναβιβάζουσι ἐπὶ τὸν ἵππον [d], ὧδε ἀναβιβάζοντες· ἐπεὰν νεκρῷ ἑκάστῳ παρὰ τὴν ἄκανθαν ξύλον ὀρθὸν διελάσωσι μέχρι τοῦ τραχήλου, κάτωθεν δὲ ὑπερέχει τοῦ ξύλου τούτου, τὸ ἐς τόρμον πηγνύουσι τῷ ἑτέρῳ ξύλῳ τῷ διὰ τοῦ ἵππου. ἐπισησάντες δὲ κύκλῳ τὸ σῆμα ἱππέας τοιούτους ἀπελαύνουσι.

οη'. Οὕτω μὲν τοὺς βασιλῆας θάπτουσι.

[b] ἀναβιβάζουσι. [c] MS. ὑπιρέχουσι. [d] ἐπ' ἵππων.

tali modo defixerint, multa illa tum oblonga ligna craſſa per equos ad cervicem uſque quum trajecerunt, attollunt eos ſupra fornices, quorum priores fornices ſuſtinent armos equorum, poſteriores vero juxta femora ſuſcipiunt ventres, utriſque cruribus ſuperne dependentibus. Equos autem infrenant, eorumque habenas anteriora extendunt, et mox ad palos alligant: dehinc ſuper eorum ſingulos ſtatuunt ſingulos quinquaginta juvenum ſtrangulatorum hunc in modum. Unicuique eorum rectum ſtipitem praeter ſpinam ad cervicem uſque transfigunt: quod inferius extat aliquid ſtipitis, id infigunt foramini ligni alterius quo equus trajectus eſt. His equitibus ſepulchro circumpoſitis abeunt.

73. Hunc in modum reges ſepeliunt.

Digitized by Google

Alios autem Scythas, quum deceſſerunt, proximi quique in plauſtris collocatos ad amicos circumferunt. eos ſinguli amicorum excipientes, epulum comitantibus praebent; ſed et cadaveri ſimiliter ex omnibus apponit, quae caeteris. Ad hunc modum quadraginta diebus privati homines circumaguntur: dehinc humantur. Scythae autem qui ſepeliverunt tali modo purgantur. Ubi caput terſerunt abluerunt que, circa corpus ita agunt. Tria ligna ſtatuunt mutuo inclinata, circa haec praetendunt lanea pilea, quam maxime conſtipantes, et in alveum in medio lignorum pileorumque poſitum lapides conjiciunt ex igne perlucidos.

74. Naſcitur autem apud eos cannabis lino ſimillima, praeterquam craſſitudine ac magnitudine: ſed multo iſta cannabis eſt praeſtantior, vel ſua ſponte naſcens, vel ſata: ex qua Thraces quidem

Digitized by Google

τὺς δὲ ἄλλυς Σκύθας, ἐπεὰν ἀποθάνωσι, περιάγυσι οἱ ἀγχοτάτω προσήκονλες καλὰ τὺς φίλους ἐν ἁμάξῃ [a] κειμένους. τῶν δὲ ἕκας ος ὑποδεκόμενος εὐωχέει τοὺς ἑπομένυς, καὶ τῷ νεκρῷ ἁπάντων παραπλησίως παρατίθησι ὅσα τοῖσι ἄλλοισι. ἡμέρας δὲ τεσσεράκονλα ὕτω οἱ ἰδιῶται περιάγονται, ἔπειλα θάπλονται. θάψανλες δὲ οἱ Σκύθαι, καθαίρονλαι τρόπῳ τοιῷδε· σμησάμενοι τὰς κεφαλὰς καὶ ἐκπλυνάμενοι, ποιεῦσι περὶ τὸ σῶμα τάδε· ἐπεὰν ξύλα ςήσωσι τρία ἐς ἄλληλα κεκλιμένα, περὶ ταῦτα πίλυς εἰρινέυς περιτείνυσι· συμφράξαντες δὲ ὡς μάλιςα, λίθους ἐκ πυρὸς διαφανέας ἐσβάλλουσι ἐς σκάφην κειμένην ἐν μέσῳ τῶν ξύλων τε καὶ τῶν πίλων.

οδ'. Ες ι δέ σφι κάνναβις φυομένη ἐν τῇ χώρῃ, πλὴν παχύτηλος καὶ μεγάθεος, τῷ λίνῳ ἐμφερεςάτη. ταύτῃ δὲ πολλῷ ὑπερφέρει ἡ κάνναβις αὕτη· καὶ αὐτομάτη καὶ σπειρομένη φύεται· καὶ ἐξ αὐτῆς Θρῇϊκες

[a] ἁμάξῃσι.

Digitized by Google

μὲν καὶ εἶμαλα ποιεῦνται τοῖσι λινέοισι ὁμοιότατα· ὅδ' ἂν, ὅστις μὴ κάρτα τρίβων εἴη αὐτῆς, διαγνοίη λίνου ἢ καννάβιός ἐστι· ὃς δὲ μὴ εἰδέ κω τὴν καννάβιδα, λίνεον δοκήσει εἶναι τὸ εἶμα.

οε'. Ταύτης ὦν οἱ Σκύθαι τῆς καννάβιος τὸ σπέρμα ἐπεὰν λάβωσι, ὑποδύνουσι ὑπὸ τὰς πίλους, καὶ ἔπειτα ἐπιβάλλουσι [b] τὸ σπέρμα ἐπὶ τοὺς διαφανέας λίθους τῷ πυρί. τὸ δὲ θυμιῆσαι ἐπιβαλλόμενον, καὶ ἀτμίδα παρέχεται τοσαύτην, ὥστε Ἑλληνικὴ οὐδεμία ἂν μιν πυρίη ἀποκρατήσειε· οἱ δὲ Σκύθαι ἀγάμενοι τῇ πυρίῃ ὠρύονται. τοῦτό σφι ἀντὶ λουτροῦ ἐστί. οὐ γὰρ δὴ λοῦνται ὕδατι τοπαράπαν τὸ σῶμα. αἱ δὲ γυναῖκες αὐτέων ὕδωρ παραχέουσαι, κατασώχουσι περὶ λίθον τρηχὺν τῆς κυπαρίσσου, καὶ κέδρου, καὶ λιβάνου ξύλου· καὶ ἔπειτα τὸ κατασωχόμενον τοῦτο, παχὺ ἐὸν, καὶ καταπλάσσονται [c] πᾶν τὸ σῶμα καὶ τὸ πρόσωπον· καὶ ἅμα μὲν εὐωδίη σφέας ἀπὸ

[b] ὑποβάλλουσι. [c] ἰὸν, καταπάσσονται.

etiam veſtimenta conficiunt lineis ſimillima: neque ſane niſi quis admodum peritus ſit ejus, linea ſint an cannabina, queat dignoſcere: et qui non viderit cannabem exiſtimabit lineum eſſe veſtimentum.

75. Hujus ergo cannabis ſemen ubi acceperint Scythae ſub pileis ſuccedunt, ac deinde id ſupra lapides igne perlucidos jaciunt. Id vero aggrediens ſuffire etiam vaporem reddit tantum, ut Graecum nullum thuribulum eum ſuperet. Hoc odore gaudentes Scythae fremunt; quod apud ipſos loco lavacri eſt. neque enim aqua lavant omnino corpus, ſed uxores eorum adfundentes aquam, ad lapidem ſcabrum conterunt cypreſſi et cedri et thuris ligni aliquid: deinde iſtud detritum, quod eſt craſſum, etiam oblinunt toto corpore et facie. Id eas ſimul bene

Digitized by Google

olentes facit, simul postero die, auferentes illud oblitum, mundas ac splendidas.

76. Externis vero et hi ritibus uti magnopere cavent, ne quidem mutuis inter se: sed Graecorum etiam minime, ut ostendit Anacharsis, et deinde iterum Scyles. Siquidem Anacharsis quum multum orbis terrarum contemplatus esset, et magnam sapientiam inde confeciisset, ad sedes Scytharum proficiscebatur. Is quum per Hellespontum navigans tenuisset Cyzicum, vovit Matri deorum, (offendit enim Cyzicenos ei diem festum magnifico sane apparatu celebrantes) si salvus sospesque domum revertisset, sacrificaturum se eodem ritu quo Cyzicenos sacrificantes vidisset, et pervigilium instituturum. Quum igitur in Scythiam venisset, ingressus regionem quae dicitur Hylaea, eaque est juxta Achillis Dromon sita, ubique om-

Digitized by Google

τύτυ ἔχει, ἅμα δὲ ἀπαιρέυσαι τῇ δευτέρῃ ἡμέρῃ τὴν καταπλασὺν [d], γίνονται καθαραὶ καὶ λαμπραί.

ος'. Ξεινικοῖσι δὲ νομαίοισι καὶ ἔτοι αἰνῶς χρᾶσθαι φεύγουσι, μήτοι γε ὧν ἀλλήλων, Ἑλληνικοῖσι δὲ καὶ ἤκιστα [e], ὡς διέδεξαν Ἀνάχαρσίς τε καὶ δεύτερα αὖτις Σκύλης. τοῦτο μὲν γὰρ Ἀνάχαρσις, ἐπεί τε γῆν πολλὴν θεωρήσας, καὶ ἀποδεξάμενος κατ' αὐτὴν σοφίην πολλὴν, ἐκομίζετο ἐς ἤθεα τὰ Σκυθέων· πλέων δὲ δι' Ἑλλησπόντου [f], προσίσχει ἐς Κύζικον· καὶ εὗρε γὰρ τῇ Μητρὶ τῶν θεῶν ἀνάγοντας τοὺς Κυζικηνοὺς ὁρτὴν μεγαλοπρεπέα κάρτα, εὔξατο τῇ Μητρὶ ὁ Ἀνάχαρσις, ἢν σῶς καὶ ὑγιὴς ἀπονοσήσῃ ἐς ἑωυτοῦ, θύσειν τε κατὰ ταυτὰ κατὰ ὥρα τοὺς Κυζικηνοὺς ποιεῦντας, καὶ παννυχίδα σήσειν. ὡς δὲ ἀπίκετο ἐς τὴν Σκυθικὴν, καταδὺς ἐς τὴν καλεομένην Ὑλαίην· ἡ δ' ἔστι μὲν παρὰ τὸν Ἀχιλλήϊον Δρόμον,

[d] καὶαπλασὴν. [e] δὲ ἤκισα. [f] πλέων δι' Ἑλλησπόντυ.

Digitized by Google

τυγχάνει δὲ πᾶσα ἐοῦσα δενδρέων παντοίων πλέη· ἐς ταύτην δὴ καταδὺς ὁ Ανάχαρσις, τὴν ὀρτὴν πᾶσαν ἐπετέλεε τῇ θεῷ, τύμπανόν τε ἔχων, καὶ ἐκδησάμενος ἀγάλματα. καί τις τῶν Σκυθέων καταφραθεὶς αὐτὸν ταῦτα ποιεῦντα, ἐσήμηνε τῷ βασιλέϊ Σαυλίῳ· ὁ δὲ, καὶ αὐτὸς ἀπικόμενος, ὡς εἶδε τὸν Ανάχαρσιν ποιεῦντα ταῦτα, τοξεύσας αὐτὸν ἀπόκτεινε. καὶ νῦν ἤν τις εἴρηται περὶ Ἀναχάρσιος, ἃ φασί μιν Σκύθαι γινώσκειν, διὰ τοῦτο ὅτι ἐξεδήμησέ τε ἐς τὴν Ἑλλάδα, καὶ ξεινικοῖσι ἔθεσι διεχρήσατο. ὡς δ' ἐγὼ ἤκουσα Τίμνεω τοῦ Ἀριαπείθεος [a] ἐπιτρόπου, εἶναι αὐτὸν Ἰδανθύρσου [b] τοῦ Σκυθέων βασιλέος πάτρων, παῖδα δὲ εἶναι Γνούρου τοῦ Λύκου τοῦ Σπαργαπίθεος. εἰ ὦν ταύτης ἦν τῆς οἰκίης Ανάχαρσις, ἴσω ὑπὸ τοῦ ἀδελφεοῦ ἀποθανών. Ἰδάνθυρσος γὰρ ἦν παῖς Σαυλίου, Σαύλιος δὲ ἦν ὁ ἀποκλείνας Ανάχαρσιν.

οζ'. Καί τοι τινὰ ἤδη ἤκουσα λόγον ἄλ-

[a] Σπαργαπείθιος. [b] Ιδαθύρσου.

nigenis arboribus referta. In hanc ingreſſus Anacharſis, omnem feſti ceremoniam deae perſolvit, tympanum tenens, alligatiſque ſimulacris. Haec eum agentem quidam Scytha animadvertens, indicium detulit Saulio regi. Rex quum et ipſe contuliſſet ſe eo, et Anacharſin ea facientem inſpexiſſet, excuſſa ſagitta necavit. Et nunc ſi quis de Anacharſi interroget, Scythae negant ſe noviſſe hominem, ob id quod in Graeciam peregrinatus externoſque ſit mores ſectatus. Sicut autem ego accepi ex Timne tutore Spargapithis, eſſe eum patruum Idanthyrſi Scytharum regis, filium Gnuri, nepotem Lyci, pronepotem Spargapithis. Itaque ſi ex hac familia extitit Anacharſis, ſciat ſe ab fratre fuiſſe interemptum. Idanthyrſus enim fuit filius Saulii, Saulius autem fuit qui Anacharſin interemit.

77. Quanquam et aliud quiddam Pe-

Digitized by Google

loponnenſes audivi referentes, Anacharſin a rege Scytharum miſſum, Graeciae fuiſſe diſcipulum, et quum rediſſet, dixiſſe ei qui ipſum miſerat, cunctos Graecos eſſe in omni ſapientia occupatos, Lacedaemoniis exceptis, quibus ſolis datum eſſet prudenter dare et accipere rationem. Verum haec narratio temere ab ipſis Graecis ficta eſt. Hic igitur vir, quemadmodum antea dictum eſt, trucidatus fuit, et tale aliquod fatum propter externos ritus et Graecas conſuetudines conſequutus.

78. Multis autem ſane annis poſtea interjectis ſimilia excepit Scyles, Aripithis filius. etenim Aripithes Scytharum rex, cum alios filios multos ſuſtulit, tum Scylem ex uxore Iſtrina, haudquaquam cive, quae filium Graecam linguam litteraſque edocuit. Interjecto deinde tempore, Aripithe per dolum occiſo a Sparga-

Digitized by Google

λον ὑπὸ Πελοποννησίων λεγόμενον, ὡς ὑπὸ τῶν [c] Σκυθέων βασιλέος Ἀνάχαρσις ἀπομεμφθεὶς, τῆς Ἑλλάδος μαθητὴς γένοιτο· ὀπίσω τε ἀποκοσήσας, Φαίη πρὸς τὸν ἀποπέμψαντα, Ἕλληνας πάντας ἀχόλυς εἶναι ἐς [d] πασᾶν σοφίην, πλὴν Λακεδαιμονίων· τούτοισι δὲ εἶναι μύνοισι σωφρόνως δῦναί τε καὶ δέξασθαι λόγον. ἀλλ' οὗτος μὲν ὁ λόγος ἄλλως πέπλασται ὑπ' αὐτῶν [e] Ἑλλήνων. ὅδ' ὢν ἀνὴρ, ὥσπερ πρότερον εἰρέθη, διεφθάρη. ὗτος μέν νυν ὕτω δὴ ἔπρηξε [f] διὰ ξεινικά τε νόμαια καὶ Ἑλληνικὰς ὁμιλίας.

οη'. Πολλοῖσι δὲ κάρτα ἔτεσι ὕστερον Σκύλης ὁ Ἀριπείθεος [g] ἔπαθε παραπλήσια τούτῳ. Ἀριπείθεϊ γὰρ τῷ Σκυθέων βασιλέϊ γίνεται μετ' ἄλλων παίδων Σκύλης. ἐξ Ἰστρινῆς δὲ γυναικὸς ὗτος γίνεται, καὶ ὐδαμῶς ἐγχωρίης· τὸν ἡ μήτηρ αὕτη γλῶσσάν τε Ἑλλάδα καὶ γράμματα ἐδίδαξε. μετὰ δὲ, χρόνῳ ὕστερον, Ἀριπείθης

[c] τοῦ [d] πρὸς. [e] ὑπὸ τῶν. [f] δή τι ἔπρηξε. [g] Ἀριαπείθιος semper MS.

Digitized by Google

μὲν τελευτᾷ δόλῳ ὑπὸ Σπαργαπείθεος τοῦ Αγαθύρσων βασιλῆος· Σκύλης δὲ τήν τε βασιληίην παρέλαβε, καὶ τὴν γυναῖκα τοῦ πατρὸς, τῇ ὄνομα ἦν Οποίη. ἦν δὲ αὕτη ἡ Οποίη ἀρχὴ ἐξ ἧς ἦν Οριικος Αριπείθεϊ παῖς. βασιλεύων δὲ Σκυθέων ὁ Σκύλης, διαίτῃ μὲν ὐδαμῶς ἠρέσκελο Σκυθικῇ, ἀλλὰ πολλὸν πρὸς τὰ Ἑλληνικὰ μᾶλλον τετραμμένος ἦν ἀπὸ παιδεύσιος τῆς ἐπεπαίδευλο. ἐποιέε τε τοιῦτο· εὖτε ἀγάγοι τὴν ϛρατιὴν τῶν Σκυθέων ἐς τὸ Βορυσθενειϊτέων ἄϛυ· (οἱ δὲ Βορυσθενεῖται ὗτοι λέγουσι σφέας αὐτοὺς εἶναι Μιλησίους) ἐς τοῦτο ὅκως ἔλθοι ὁ Σκύλης, τὴν μὲν ϛρατιὴν κατελίπεσκε ἐν τῷ προασείῳ, αὐτὸς δὲ ὅκως ἔλθοι ἐς τὸ τεῖχος, ϗ τὰς πύλας ἐγκλῄσειε, τὴν ϛολὴν ἀποθέμενος τὴν Σκυθικὴν, λάβεσκε ἂν Ἑλληνίδα ἐσθῆτα· ἔχων δ' ἂν ταύτην, ἠγόραζε, οὔτε δορυφόρων ἑπομένων, οὔτε ἄλλου ὐδενός. τὰς δὲ πύλας ἐφύλασσον, μή τις μιν Σκυθέων ἴδοι

pithe Agathyrſorum rege, Scyles regnum ſuſcepit, et uxorem patris, nomine Opoeam. Erat autem Opoea haec civis, ex qua erat Aripithi filius Oricus. Scyli regnum Scytharum obtinenti Scythicus tamen vivendi mos nihil prorſus cordi erat, ſed multo magis convertebatur ad Graeca, in quibus fuerat imbutus a puero; et tale quid fecit. Utique quum ad urbem Boryſthenitarum Scythicum ducebat exercitum, (Boryſthenitae autem ſe a Mileſiis ajunt eſſe oriundos.) ad hos quoties Scyles veniebat, relicto in ſuburbanis exercitu, ipſe muros ingreſſus portas obſerabat; depoſita Scythica veſte, Graecum ſumebat veſtimentum, et eo indutus, in foro ſpatiabatur, nullo neque ſatellitum neque alio comitatu; ſed portas ſervabant, nequis Scytharum cerneret eum geſtantem hujuſmodi veſtimentum: et cum in cete-

Digitized by Google

ris Graecorum diſciplina utebatur, tum ſacra diis faciebat ritu Graeco. Et quum ibi tempus menſtruum aut amplius triverat, abſcedebat, induta ſibi Scythica veſte. Idque ſaepenumero faciebat, exſtructis ſibi aedibus in Boryſthenide, et uxore illinc accepta.

79. Sed quum deberet ei male cedere, ex hac occaſione evenit. Affectabat Baccho per Bacchanal initiari, ac initiationem jam ſumpturo in manibus, oblatum eſt ingens oſtentum. Erant ei in urbe Boryſthenitarum circum aedes (quarum etiam paulo ante habui mentionem) magnas atque magnificas ſpatii laxitas, circaque eam e lapide candido ſphinges et grypes ſtantes. in has aedes deus fulmen jaculatus eſt, totaeque deflagraverunt. Scyles nihilominus propterea initiationem peragit. Enimvero Scythae Graecis probro dant bacchari, ne-

Digitized by Google

ἔχουλα ταύτην τὴν στολήν. καὶ τἄλλα ἐχρᾶτο διαίτῃ Ἑλληνικῇ, καὶ θεοῖσι ἱρὰ ἐποίεε κατὰ νόμους τοὺς Ἑλλήνων. ὅτε δὲ διατρίψειε μῆνα ἢ πλέον τούτου, ἀπαλλάσσετο, ἐνδὺς τὴν Σκυθικὴν στολήν. ταῦτα ποιέεσκε πολλάκις· καὶ οἰκία [a] τε ἐδείμαλο ἐν Βορυσθένεϊ, καὶ γυναῖκα ἔγημε ἐς αὐτὰ ἐπιχωρίην.

οθ'. Ἐπεί τε δὲ ἐδεέ οἱ κακῶς γενέσθαι, ἐγένετο ἀπὸ προφάσιος τοιῆσδε· ἐπεθύμησε Διονύσῳ βακχείῳ τελεσθῆναι· μέλλοντι δέ οἱ ἐς χεῖρας ἄγεσθαι τὴν τελετὴν, ἐγένετο φάσμα μέγιστον. ἦν οἱ ἐν Βορυσθενειτέων τῇ πόλι, οἰκίης μεγάλης καὶ πολυτελέος περιβολὴ, (τῆς καὶ ὀλίγῳ τι πρότερον τυτέων μνήμην εἶχον) τήν τε πέριξ [b] λευκῦ λίθου σφίγγες τε καὶ γρύπες ἔστασαν. ἐς ταύτην ὁ θεὸς ἐνέσκηψε βέλος· καὶ ἡ μὲν καλεκάη πᾶσα. Σκύλης δὲ οὐδὲν τούτου [c] εἵνεκα ἧσσον ἐπελέλεσε τὴν τελετήν. Σκύθαι δὲ τοῦ βακχεύειν πέρι Ἕλλησι ὀνειδί-

[a] πολλάκις. οἰκία. [b] τὴν πίριξ. [c] τυτέων.

ζυσι. ὑ γάρ φασι εἰκὸς εἶναι θεὸν ἐξευρίσκειν τῦτον ὅσις μαίνεσθαι ἐνάγει ἀνθρώπυς. ἐπεί τε δὲ ἐτελέσθη τῷ βακχείῳ ὁ Σκύλης, ἐπρήςευσε [d] τῶν τις Βορυσθενειϊτέων πρὸς τοὺς Σκύθας, λέγων, ‘Ἡμῖν ‘ γὰρ [e] καλαγελᾶτε, ὦ Σκύθαι, ὅτι βακ‘ χεύομεν, ϗ ἡμέας ὁ θεὸς λαμβάνει· νῦν ‘ ἕτος ὁ δαίμων ϗ τὸν ὑμέτερον βασιλέα ‘ λελάβηκε, ϗ βακχεύει τε, ϗ [f] ὑπὸ τῦ ‘ θεῦ μαίνεται. εἰ δέ μοι ἀπις έετε, ἕπε‘ σθε, καὶ ὑμῖν ἐγὼ δείξω.’ εἵποντο τῶν Σκυθέων οἱ προες εῶτες· ϗ αὐτὸς ἀναγαγὼν ὁ Βορυσθενειΐτης, λάθρη ἐπὶ πύργον κάτισε [g]. ἐπεί τε δὲ παρῄϊε σὺν τῷ θιάσῳ ὁ Σκύλης, ϗ εἶδόν μιν βακχεύοντα οἱ Σκύθαι, κάρτα συμφορὴν μεγάλην ἐποιήσαντο. ἐξελθόντες δὲ ἐσήμαινον πάσῃ τῇ ςρατιῇ τὰ ἴδοιεν.

π΄. Ὡς δὲ μετὰ ταῦτα ἐξήλαυνε ὁ Σκύλης ἐς ἤθεα τὰ ἑωϋτοῦ, οἱ Σκύθαι προςησάμενοι τὸν ἀδελφεὸν αὐτῦ Οκτα-

[d] διεπρήτευσε. [e] ἡμῖν δὲ. [f] ϗ βακχεύει, ϗ. [g] ἐκάτισε.

Digitized by Google

gantes esse credibile deum inveniſſe quo homines ad dementiam adigantur. Poſteaquam bacchanali initiatus eſt Scyles, quidam Boryſthenitarum Scythis indicium detulit, inquiens, ‘ Nos enim irri-
‘ dete Scythae quod Bacchanalia agamus,
‘ quodque nos deus corripiat; at nunc
‘ daemon hic veſtrum quoque regem in-
‘ ſedit. nam bacchatur et a deo inſanit.
‘ Quod ſi mihi non habetis fidem, ſequi-
‘ mini me rem vobis oſtenſurum.’ Primores Scytharum ſequuti ſunt: quos Boryſthenita ille deductos clanculum in turri collocavit. Ubi adfuit Scyles cum thiaſo, Scythae eum bacchabundum conſpicati, rem ingentis calamitatis eſſe duxerunt: digreſſique, ea quae viderant omni exercitui indicarunt.

80. Poſt haec ubi ad lares ſuos redibat Scyles, praepoſito fratre ejus Octa-

Digitized by Google

maſade, ex filia Terei genito, inſurrexerunt contra Scylen. Scyles cognito quid de ſe fieret, et quam ob cauſſam, profugit in Thraciam. Id quum audiſſet Octamaſades, cum exercitu adverſus Thraciam contendit: cui ad Iſtrum progreſſo Thraces occurrerunt. Et quum conflicturi eſſent, Sitalces ad Octamaſadem miſit caduceatorem, cum his mandatis, ‘Quid opus eſt inter nos tentare? Tu ‘quidem ſororis meae es filius, ſed habes ‘germanum meum, quem ſi mihi reddi‘deris, ego viciſſim Scylen trado tibi. Ita ‘neque tu, neque ego periclitabor exer‘citu.’ Per haec verba pacem firmabat Sitalces. Erat enim apud Octamaſadem frater Sitalcis profugus. Et Octamaſades iſta accepit, redditoque Sitalci avunculo ſuo, Scylen cepit fratrem. Et Sitalces qui-

μασάδην, γεγονότα ἐκ τῆς Τήρεω [a] θυγατρὸς, ἐπανισαίαλο τῷ Σκύλῃ. ὁ δὲ, μαθὼν τὸ γινόμενον ἐπ' ἑωϋτῷ, καὶ τὴν αἰτίην δι' ἣν ἐποιέετο, καταφεύγει ἐς τὴν Θρηΐκην. πυθόμενος δὲ ὁ Οκταμασάδης ταῦτα, ἐστρατεύετο ἐπὶ τὴν Θρηΐκην· ἐπεί τε δὲ ἐπὶ τῷ Ἴστρῳ ἐγένετο, ἠντίασάν μιν οἱ Θρήϊκες. μελλόντων δὲ αὐτέων συνάψειν [b], ἔπεμψε Σιτάλκης παρὰ τὸν Οκταμασάδην, λέγων τοιάδε, ‘ Τί δεῖ ἡμέας ἀλλήλων πειρηθῆναι; εἰς μέν μευ τῆς ἀδελφεῆς παῖς, ἔχεις δέ μευ ἀδελφεόν· σύ τέ μοι ἀπόδος τοῦτον, καὶ ἐγώ σοι τὸν σὸν Σκύλην παραδίδωμι. στρατιῇ δὲ μήτε σὺ κινδυνεύσῃς, μήτ' ἐγώ.’ ταῦτά οἱ πέμψας ὁ Σιτάλκης ἐπεκηρυκεύετο. ἦν γὰρ παρὰ τῷ Οκταμασάδῃ ἀδελφεὸς Σιτάλκεος πεφευγώς. ὁ δὲ [c] Οκταμασάδης καταινέει ταῦτα. ἐκδιδοὺς [d] δὲ τὸν ἑωϋτοῦ μήτρωα Σιτάλκῃ [e], ἔλαβε τὸν ἀδελφεὸν

[a] Τυρέω. [b] συνάπτειν. [c] πεφευγὼς τοῦτον. ὁ δὲ. [d] ἐκδὺς. [e] Σιτάλκην.

Σκύλην. κ᾽ Σιτάλκης μὲν παραλαβὼν τὸν ἀδελφεὸν, ἀπήγελο. Σκύλεω δὲ Οκταμασάδης αὐτῦ ταύτη ἀπέταμε τὴν κεφαλήν. ὕτω μὲν περιέλλυσι τὰ σφέτερα νόμαια Σκύθαι, τοῖσι δὲ παρακλωμένοισι ξεινικὺς νόμυς τοιαῦτα ἐπιτίμια διδῦσι.

πά. Πλῆθος δὲ τὸ Σκυθέων ὐκ οἷός τε ἐγενόμην ἀτρεκέως πυθέσθαι, ἀλλὰ διαφόρους λόγους περὶ τῦ ἀριθμῦ ἤκυον. κ᾽ γὰρ κάρτα πολλοὺς εἶναί σφεας, κ᾽ ὀλίγυς, ὡς Σκύθας εἶναι. τοσόνδε μέντοι ἀπέφαινόν μοι ἐς ὄψιν· ὡς ἔσι [f] μεταξὺ Βορυσθένεός τε ποταμῦ καὶ Ὑπάνιος χῶρος· ἄνομα δ᾽ ἔσι οἱ Εξαμπαῖος· τῦ κ᾽ ὀλίγον τι πρότερον τύτων μνήμην εἶχον, Φάμενος ἐν αὐτῷ κρήνην ὕδαλος πικρῦ εἶναι, ἀπ᾽ ἧς τὸ ὕδωρ ἀποῤῥέον τὸν Ὑπανιν ἄποτον ποιέειν [g]. ἐν τύτῳ τῷ χώρῳ κέεσθαι χαλκήϊον, μεγάθεϊ καὶ ἑξαπλήσιον [h] τῦ ἐπὶ τῷ ςόμαλι τῦ Πόντυ κρητῆρος, τὸν Παυσανίης ὁ Κλεομβρότου ἀνέθηκε. ὃς δὲ μὴ

[f] ὄψιν. ἔσι. [g] ποιέειν. [h] μεγάθεϊ ἑξαπλάσιον.

Digitized by Google

dem accepto fratre reduxit exercitum: Octamasades autem eodem die caput Scyli dempsit. Adeo sua instituta Scythae observant: et iis qui externos ritus adsciscunt, tales irrogant poenas.

81. Multitudinem autem Scytharum non potui exacte indagare, quum de ejus numero varia referentes audiam, et permultos illos, et rursus paucos esse utique Scythas. Quantum autem sub aspectum meum venit: Est inter Borysthenen et Hypanin flumina, locus nomine Exampaeus: cujus etiam aliquanto antea habuimus mentionem, quum dicebam fontem in eo esse aquae amarae, Hypanin in quem fluit, impotabilem reddentis. Hoc in loco jacet ahenum sexies tantum quantus crater qui est in ostio Ponti, a Pausania Cleombroti filio dedicatus. Quod si

Digitized by Google

quis illum non inſpexit, hunc ei in modum declarabo: Sexcentarum eſt amphorarum facile capax iſtud in Scythis ahenum, craſſitudine digitorum ſex. id ajunt indigenae ex aculeis ſagittarum eſſe factum: regem enim ſuum, nomine Ariantan, quum numerum Scytharum ſcire vellet, juſſiſſe ſingulos Scythas conferre ſingulos ſagittarum aculeos, propoſita morte ei qui non ferret. Ita magnam vim collatam eſſe aculeorum: et ex his confectum ahenum illud placuiſſe ei pro monumento relinquere, et in hoc Exampaeo dedicare. Haec de multitudine Scytharum audiebam.

82. Miracula autem haec regio nulla habet, praeter flumina cum multo maxima, tum numero plurima. Si quid tamen praeter flumina et magnitudinem campi exhibetur admiratione dignum, id dice-

Digitized by Google

εἰδέ κω τοῦτον, ὧδε δηλώσω· ἑξακοσίους ἀμφορέας εὐπετέως χωρέει τὸ ἐν Σκύθῃσι χαλκήϊον. πάχος δὲ τὸ Σκυθικὸν τοῦτο χαλκήϊόν ἐστι δακτύλων ἕξ. τοῦτο ὦν ἔλεγον οἱ ἐπιχώριοι ἀπὸ ἀρδίων γενέσθαι. βουλόμενον γὰρ τὸν σφέτερον βασιλέα, τῷ οὔνομα εἶναι Ἀριαντὰν, τοῦτον εἰδέναι τὸ πλῆθος τῶν Σκυθέων, κελεύειν μιν πάντας Σκύθας ἄρδιν ἕκαστον μίην ἀπὸ τοῦ ὄϊός κομίσαι· ὃς δ' ἂν μὴ κομίσῃ, θάνατον ἀπείλεε. κομισθῆναι τε δὴ χρῆμα πολλῶν ἀρδίων, καί οἱ δόξαι ἐξ αὐτέων μνημόσυνον ποιήσας [c] λιπέσθαι. ἐκ τουτέων δή μιν τὸ χαλκήϊον ποιῆσαι τοῦτο, καὶ ἀναθεῖναι ἐς τὸν Ἐξαμπαῖον τοῦτον. ταῦτα δὴ περὶ τοῦ πλήθεος τοῦ Σκυθέων ἤκουον.

πϐ'. Θωϋμάσια δ' ἡ χώρη αὕτη οὐκ ἔχει, χωρὶς ἢ ὅτι ποταμούς τε πολλῷ μεγίστους, καὶ ἀριθμὸν πλείστους. ὃ δὲ ἀποθωϋμάσαι ἄξιον καὶ πάρεξ [d] τῶν ποταμῶν, καὶ τοῦ μεγάθεος τοῦ πεδίου, παρέχεται, εἰρήκ

[c] ποιήσαντι. [d] ἄξιον, πάρεξ.

Digitized by Google

σεΐαι. ἴχνος Ἡρακλέος φαίνεσι ἐν πέτρῃ ἐνεὸν, τὸ ἔοικε μὲν βήματι ἀνδρὸς, ἔσι δὲ τὸ μέγαθος δίπηχυ, παρὰ τὸν Τύρην ποταμόν. τῦτο μέν νυν τοιῦτό ἐσι.

πγ'. Ἀναβήσομαι δὲ ἐς τὸν κατ' ἀρχὰς ἡϊὰ λέξων λόγον. παρασκευαζομένου Δαρείῳ ἐπὶ τὺς Σκύθας, καὶ ἐπιπέμποντος ἀγγέλους ἐπιτάξοντας τοῖσι μὲν πεζὸν στρατὸν, τοῖσι δὲ νέας παρέχειν, τοῖσι δὲ ζεύγνυσθαι τὸν Θρηϊκιον Βόσπορον· Ἀρτάβανος ὁ Ὑστάσπεος, ἀδελφεὸς ἐὼν Δαρείῳ, ἔχρηζε μηδαμῶς αὐτὸν στρατιὴν ἐπὶ Σκύθας ποιέεσθαι, καταλέγων τῶν Σκυθέων τὴν ἀπορίην. ἀλλ', ὡ γὰρ ἔπειθε συμβουλεύων οἱ χρησὰ, ὁ μὲν ἐπέπαυτο· ὁ δὲ, ἐπειδή οἱ τὰ πάντα παρεσκεύαστο, ἐξήλαυνε τὸν στρατὸν ἐκ Σύσων.

πδ'. Ἐνθαῦτα τῶν Περσέων Οἰόβαζος ἐδεήθη Δαρείῳ, τριῶν ἐόντων οἱ παίδων, καὶ πάντων στρατευομένων, ἕνα αὐτῷ καταλειφθῆναι. ὁ δέ οἱ ἔφη, ὡς φίλῳ ἐόντι, καὶ

tur. Veſtigium Herculis oſtendunt petrae impreſſum, virili veſtigio ſimile, bicubitali magnitudine, juxta fluvium Tyrem. Et hoc ita ſe habet.

83. REDEO ad eam quam ab initio inſtitueram orationem: Dario adverſus Scythas exercitum comparanti, dimiſſis nunciis ad imperandum, aliis ut peditatum, aliis ut claſſem praeſtarent, aliis ut Boſporum Thracium ponte jungerent: Artabanus, Hyſtaſpis filius, Darii frater, nolebat illum ullo pacto Scythis inferre bellum, commemorans Scytharum inopiam, utilia ſuadens: quum tamen non perſuaderet illi, deſtitit a diſſuadendo. Darius, ubi omnia ei in expedito fuere, copias eduxit ex urbe Suſis.

84. Ibi eum Oeobazus ex Perſis, cui tres filii erant, et omnes militantes, obſecrabat ut unum ſibi relinqueret. Cui Darius tanquam amico et modeſta obſecran-

Digitized by Google

ti, reſpondit ſe omnes liberos relicturum. Eo reſponſo Oeobazus magnopere laetabatur, ſperans liberos ſuos miſſionem habere militiae. At ille adſtantes juſſit ut omnes Oeobazi filios interimerent. Ita filii Oeobazi obtruncati, illic ſunt relicti.

85. Darius Suſis movens, poſtquam pervenit ad Boſporum Calchedoniae, ubi pons junctus erat, illinc conſcenſa navi, tranſmiſit in Cyaneas, quae dicuntur, quas Graeci prius errabundas fuiſſe ajunt. Ibi ſedens in templo ſubjiciebat oculis Pontum, rem ſpectaculo dignam. nam inter omnia maria eſt maxime admirabilis. Cujus longitudo eſt undecim millium ac centum ſtadiorum: latitudo (qua latiſſimus ſui eſt) trium millium ducentorum. Hujus pelagi os latitudinis eſt quatuor ſtadiorum: longitudo oris (quod eſt collum)

Digitized by Google

μετρίων δεομένῳ, πάντας τοὺς παῖδας καταλείψειν. ὁ μὲν δὴ Οἰόβαζος περιχαρὴς ἦν, ἐλπίζων τὸν ὑέας στρατηίης ἀπολελύσθαι· ὁ δὲ ἐκέλευσε τοὺς ἐπεσεῶτας [c], ἀποκλεῖναι πάντας τοὺς Οἰοβάζυ παῖδας· καὶ ἕτοι μὲν ἀποσφαγέντες, αὐτοῦ ταύτῃ ἐλίποντο.

πέ. Δαρεῖος δὲ ἐπεί τε πορευόμενος ἐκ Σάρδων ἀπίκετο τῆς Καλχηδονίης ἐπὶ τὸν Βόσπορον, ἵνα ἔζευκτο ἡ γέφυρα, ἐνθεῦτεν ἐσβὰς ἐς νέα, ἔπλεε ἐπὶ τὰς Κυανέας καλευμένας, τὰς πρότερον πλαγκτὰς Ἕλληνες φασὶ εἶναι. ἑζόμενος δὲ ἐπὶ τῷ ἱρῷ, ἐθηεῖτο [f] τὸν Πόντον ἐόντα ἀξιοθέητον. πελαγέων γὰρ ἁπάντων πέφυκε θωϋμασιώτατος· τοῦτο μὲν, μῆκος εἰσὶ στάδιοι ἑκατὸν καὶ χίλιοι καὶ μύριοι· τοῦτο δὲ, τῇ εὐρύτατος αὐτὸς ἑωυτοῦ, στάδιοι διηκόσιοι καὶ τριχίλιοι. τούτου τοῦ πελάγεος τὸ στόμα, ἔστι εὖρος τέσσερες στάδιοι· μῆκος δὲ τοῦ στόματος, ὁ αὐχήν, τὸ δὴ Βόσπορος κε-

[c] ὃ δὲ κελεύει τὺς ἐπὶ τυτίων ἐπεστεῶτας. [f] ἐθηῆτο.

κληται, κατ' ὃ δὴ ἔζευκτο ἡ γέφυρα, ἐπὶ σταδίους εἴκοσι καὶ ἑκατόν ἐστι. τείνει δ' ἐς τὴν Προποντίδα ὁ Βόσπορος. ἡ δὲ Προποντὶς, ἐοῦσα εὖρος μὲν σταδίων πεντακοσίων, μῆκος δὲ τετρακοσίων καὶ χιλίων, καταδιδοῖ ἐς τὸν Ἑλλήσποντον, ἐοῦσα στενότητι μὲν ἑπτὰ σταδίων, μῆκος δὲ τετρακοσίων. ἐκδιδοῖ δὲ ὁ Ἑλλήσποντος ἐς χάσμα πελάγεος τὸ δὴ Αἰγαῖον καλέεται.

πς'. Μεμέτρηται δὲ ταῦτα ὧδε· νηῦς ἐπίπαν μάλιστά κη κατανύει ἐν μακρημερίῃ [a] ὀργυέας ἑπταισμυρίας, νυκτὸς δὲ, ἑξαισμυρίας [b]. ἤδη ὧν ἐς μὲν Φάσιν ἀπὸ τοῦ στόματος, (τοῦτο γάρ ἐστι τοῦ Πόντου μακρότατον) ἡμερέων ἐννέα πλόος ἐστὶ, καὶ νυκτῶν ὀκτώ· αὗται, ἕνδεκα μυριάδες καὶ ἑκατὸν ὀργυέων γίνονται. ἐκ δὲ τῶν ὀργυέων τουτέων, στάδιοι ἑκατὸν καὶ χίλιοι καὶ μύριοί εἰσι. ἐς δὲ Θεμίσκυραν τὴν ἐπὶ Θερμώδοντι ποταμῷ ἐκ τῆς Ἰνδικῆς, (καὶ τοῦτο γάρ ἐστι τοῦ Πόντου εὐρύτατον) τριῶν τε ἡμερέων καὶ

[a] μακρῇ ἡμέρῃ. [b] Hae tres voces absunt ab MS.

quae Boſporus dicitur, ubi pons connectebatur, circiter centum viginti ſtadia. Boſporus ad Propontidem pertinet. Propontis autem latitudinis quingentorum ſtadiorum eſt, mille et quadringentorum longitudinis, influens in Helleſpontum. Ipſe Helleſpontus, ubi anguſtiſſimus, ſtadiis ſeptem, quadringentis longus, intrans pelagi hiatum quod Aegaeum vocatur.

86. Haec autem ita dimenſa ſunt. Navis fere meat omnino ſeptuaginta millia orgyiarum longo die, nocte vero ſexaginta millia. Itaque e faucibus Ponti ad Phaſin (hoc eſt enim Ponti longiſſimum) novem dierum eſt navigatio, et octo noctium, quae fiunt centum ac decem millia orgyiarum et centum, hoc eſt, ſtadiorum undecim millia ac centum. E Sindica autem ad Themiſcyram, quae eſt ſuper flumen Thermodontem (hîc namque Ponti latiſſimum eſt) trium dierum duarumque

Digitized by Google

noctium eſt navigatio, quae fiunt paſſuum trecenta ac triginta millia, ſtadiorum vero tria millia et trecenta. Hunc igitur in modum Pontus ac Boſporus et Helleſpontus a me dimenſi ſunt, et ſecundum ea quae dixi ſitum habent. Quinetiam Pontus hic paludem habet influentem in ſe, non multo quam ipſe eſt minorem, quae Maeotis appellatur, et mater Ponti.

87. Darius, ubi Pontum contemplatus eſt, renavigavit ad pontem, cujus architectus extitit Mandrocles Samius. Contemplatus item Boſporum, duos ad eum cippos erexit e candido lapide, incidens litteris in uno quidem Aſſyriis, in altero autem Graecis, omnes gentes quas ducebat. Ducebat autem omnes gentes quibus imperabat, continentes numero ſeptingenta millia hominum cum equitatu, praeter claſſem, quae conſtabat e navibus ſexcentis. His poſtea cippis Byzantii in

Digitized by Google

δύο νυκλῶν πλόον [c]. αὗται δὲ, τρεῖς καὶ τριήκοντα μυριάδες ὁργυέων γίνονται, στάδιοι δὲ, τριηκόσιοι καὶ τριχίλιοι. ὁ μέν νυν Πόντος ὅτος καὶ Βόσπορός τε καὶ Ἑλλήσποντος ὅτω τέ μοι μεμετρέαται, καὶ κατὰ τὰ εἰρημένα πεφύκασι. παρέχεται δὲ καὶ λίμνην ὁ Πόντος ἐκδιδοῦσαν [d] ἐς ἑωυτὸν, ὑ πολλῷ τέῳ ἐλάοσω ἑωυτῦ· ἡ Μαιῆτίς τε καλέεται, καὶ μήτηρ τῦ Πόντυ.

πζ'. Ὁ δὲ Δαρεῖος ὡς ἐθηήσατο τὸν Πόντον, ἔπλεε ὀπίσω ἐπὶ τὴν γέφυραν, τῆς ἀρχιτέκτων ἐγένετο Μανδροκλέης Σάμιος. θηησάμενος δὲ καὶ τὸν Βόσπορον, στήλας ἔστησε δύο ἐπ' αὐτὸν [e], λίθου λευκῦ, ἐνταμὼν γράμματα, ἐς μὲν τὴν Ασσύρια [f]· ἐς δὲ τὴν Ἑλληνικὰ, ἔθνεα πάντα ὅσαπερ ἦγε· ἦγε δὲ πάντα τῶν ἦρχε. τυτέων μυριάδες ἐξηριθμήθησαν, χωρὶς τοῦ ναυτικῦ, ἑβδομήκοντα σὺν ἱππεῦσι· νέες δὲ ἑξακόσιαι συνελέχθησαν. τῆσι μέν νυν στήλησι ταύτῃσι Βυζάντιοι, κομίσαντες ἐς

[e] πλόος. [d] Πόντος ὗτος ἐκδιδῦσαν. [c] αὐτῦ. [f] τὴν ἑτέρην Ασσύρια.

τὴν πόλιν, ὕστερον τυτέων ἐχρήσαντο πρὸς τὸν βωμὸν τῆς Ορθωσίης Αρτέμιδος, χωρὶς ἑνὸς λίθου. οὗτος κατελείφθη [a] παρὰ τῷ Διονύσου τὸν νηὸν ἐν Βυζαντίῳ, γραμμάτων Ασσυρίων πλέος. τῷ δὲ Βοσπόρου ὁ χῶρος, τὸν ἔζευξε βασιλεὺς Δαρεῖος, ὡς ἐμοὶ δοκέει συμβαλλομένῳ, μέσον ἐστὶ Βυζαντίου τε καὶ τοῦ ἐπὶ στόμαι ἱροῦ.

πή. Δαρεῖος δὲ μετὰ ταῦτα ἡσθεὶς τῇ χεδίῃ, τὸν ἀρχιτέκτονα αὐτῆς Μανδροκλέα τὸν Σάμιον ἐδωρήσατο πᾶσι δέκα· ἀπ' ὧν δὴ Μανδροκλέης ἀπαρχὴν, ζωγραφήσας πᾶσαν τὴν ζεῦξιν τοῦ Βοσπόρου, καὶ βασιλέα τε Δαρεῖον ἐν προεδρίῃ κατήμενον, καὶ τὸν στρατὸν αὐτοῦ διαβαίνοντα, ταῦτα γραφήσας, ἀνέθηκε ἐς τὸ Ἥραιον, ἐπιγράψας τάδε,

Βόσπορον ἰχθυόεντα γεφυρώσας ἀνέθηκε
Μανδροκλέης Ἥρῃ μνημόσυνον χεδίης·
Αὐτῷ μὲν στέφανον περιθείς, Σαμίοισι δὲ κῦδος·
Δαρείου βασιλέος ἐκτελέσας κατὰ νοῦν.

[a] Οὗτος δὲ κατελείφθη.

urbem ſuam translatis uſi ſunt ad aram Dianae Orthoſiae, praeter unum lapidem, qui apud Bacchi delubrum in eadem urbe relictus eſt litteris Aſſyriis oppletus. Ceterum Boſpori locus quem rex Darius ponte commiſit, conjectanti mihi videtur medius inter Byzantium et templum quod ad os eſt.

88. Poſt haec Darius ponte ratito delectatus, autorem ejus Mandroclem Samium donavit decem pueris. Ex quorum primitiis Mandrocles pingendo totam commiſſionem Boſpori et regem Darium in ſolio ſedentem, ac copias ibi tranſeuntes, effinxit, eamque picturam templo Junonis dedicavit, cum hac inſcriptione,

Qui rate piſcoſum conjunxit Boſporon, implens
Darii regis vota, jubentis opus,
Junoni Mandrocles haec monumenta dicavit,
Eſſet honor Samiis unde, corona ſibi.

Digitized by Google

Haec igitur monumenta extiterunt ejus qui pontem compegit.

89. Quem ubi remuneratus est Darius, transmisit in Europam, jussis Ionibus navigare in Pontum usque ad Istrum, atque ubi eo perveniissent, se illic opperiri fluvium ponte jungentes. Ducebant enim classem Iones et Aeolenses et Helleſpontii. Hi praetervecti Cyaneas, recta ad Istrum navigarunt, subvectique duorum dierum itinere a mari ad collum fluminis, ubi in ostia scinditur, illud ponte jungunt. Darius, transmisso per ratem Bosporo, faciebat per Thraciam iter, et quum ad fontes Teari amnis perventum esset, triduo hîc habuit stativa.

90. Tearus fertur ab accolis amnium esse optimus cum ad alios morbos, tum

Digitized by Google

ταῦτα μέν νυν τοῦ ζεύξαντος τὴν γέφυραν μνημόσυνα ἐγένετο.

πθ'. Δαρεῖος δὲ δωρησάμενος Μανδροκλέα, διέβαινε ἐς τὴν Εὐρώπην, τοῖσι Ἰωσι παραγγείλας πλέειν ἐς τὸν Πόντον, μέχρι Ἴστρου ποταμοῦ· ἐπεὰν δὲ ἀπίκωνται ἐς τὸν Ἴστρον, ἐνθαῦτα αὐτὸν περιμένειν, ζευγνύντας τὸν ποταμόν. τὸ γὰρ δὴ ναυτικὸν ἦγον Ἰωνές τε καὶ Αἰολέες καὶ Ἑλλησπόντιοι. ὁ μὲν δὴ ναυτικὸς στρατὸς τὰς Κυανέας διεκπλώσας, ἔπλεε ἰθὺ τοῦ Ἴστρου. ἀναπλώσας δὲ ἀνὰ τὸν ποταμὸν δυῶν ἡμερέων πλόον ἀπὸ θαλάσσης, τοῦ ποταμοῦ τὸν αὐχένα, ἐκ τοῦ σχίζεται τὰ στόματα τοῦ Ἴστρου, ἐζεύγνυε. Δαρεῖος δὲ, ὡς διέβη τὸν Βόσπορον κατὰ τὴν χεδίην, ἐπορεύετο διὰ τῆς Θρηΐκης. ἀπικόμενος δὲ ἐπὶ Τεάρου πολαμοῦ τὰς πηγὰς, ἐστρατοπεδεύσατο ἡμέρας τρεῖς.

ρ'. Ὁ δὲ Τέαρος λέγεται ὑπὸ τῶν περιοίκων εἶναι ποταμῶν ἄριστος, τά τε

ἄλλα ἐς ἄκεσιν φέρονλα, καὶ δὴ καὶ ἀνδράσι καὶ ἵπποισι ψώρην ἀκέσασθαι. εἰσὶ δὲ αὐτῦ αἱ [a] πηγαὶ δυῶν δέουσαι τεσσερήκοντα, ἐκ πέτρης τῆς αὐτῆς ῥέουσαι. καὶ αἱ μὲν αὐτέων, εἰσὶ ψυχραί· αἱ δὲ, θερμαί. ὁδὸς δ' ἐπ' αὐτάς ἐστι ἴση ἐξ Ἡραίυ τε πόλιος τῆς παρὰ Περίνθῳ, καὶ ἐξ Ἀπολλωνίης τῆς ἐν τῷ Εὐξείνῳ Πόντῳ, δυῶν ἡμερέων ἑκατέρη. ἐκδιδοῖ δὲ ὁ Τέαρος ἔτος ἐς τὸν Κονταδεσδον πολαμόν· ὁ δὲ Κονλάδεσδος, ἐς τὸν Αγριάνην· ὁ δὲ Αγριάνης, ἐς τὸν Ἕβρον· ὁ δὲ, ἐς θάλασσαν τὴν παρ' Αἶνῳ πόλι.

ζά. Επὶ τοῦτον ὦν τὸν ποταμὸν ἀπικόμενος ὁ Δαρεῖος, ὡς ἐστρατοπεδεύσαλο, ἡδεὶς τῷ πολαμῷ, στήλην ἔστησε καὶ ἐνθαῦτα γράμματα γράψας [b], λέγοντα τάδε, ΤΕΑΡΟΥ ΠΟΤΑΜΟΥ ΚΕΦΑΛΑΙ ΥΔΩΡ ΑΡΙΣΤΟΝ ΤΕ ΚΑΙ ΚΑΛΛΙΣΤΟΝ ΠΑΡΕΧΟΝΤΑΙ ΠΑΝΤΩΝ ΠΟΤΑΜΩΝ. ΚΑΙ ΕΠ' ΑΥΤΑΣ ΑΠΙΚΕΤΟ, ΕΛΑΥΝΩΝ ΕΠΙ ΣΚΥΘΑΣ ΣΤΡΑΤΟΝ, ΑΝΗΡ ΑΡΙΣΤΟΣ ΤΕ ΚΑΙ ΚΑΛΛΙΣΤΟΣ

[a] εἰσὶ γὰρ τύτυ αἱ. [b] ἐγγράψας.

Digitized by Google

ad ſcabiem curandam vel hominum vel equorum. Ejus enim fontes duodequadraginta ſunt, ex eadem petra manantes, partim frigidi, partim calidi. Ad hos tantundem viae eſt ab Heraeo urbe juxta Perinthum, et ab Apollonia quae eſt in Ponto Euxino, duorum dierum utraque. Fluit autem Tearus hic in fluvium Contadeſdum, Contadeſdus in Agrianem, Agrianes in Hebrum, Hebrus in mare juxta urbem Aenum.

91. Ad hunc igitur amnem quum perveniſſet Darius, caſtraque poſuiſſet, oblectatus amne, cippum erexit etiam illic his litteris inſcriptum, TEARI AMNIS CAPITA OPTIMAM AQUAM ATQUE PULCHERRIMAM CUNCTORUM AMNIUM CONTINENT, ET AD EA PERVENIT, EXERCITUM DUCENS ADVERSUS SCYTHAS, VIR OPTIMUS ATQUE PULCHERRIMUS

Digitized by Google

CUNCTORUM HOMINUM, DARIUS HYSTASPIS FILIUS, PERSARUM CUNCTAEQUE CONTINENTIS REX. Haec ſunt illic ſcripta.

92. Darius hinc movens venit ad alium amnem nomine Artiſcum, qui per Odryſas fluit: quo ubi pervenit, ita agendum ſibi putavit. Oſtenſo certo loco copiis ſuis, juſſit illic virum quemque praetereuntem ponere unum lapidem in iſto demonſtrato loco. Id quum exercitus feciſſet, grandes acervos lapidum iſtic relinquens abduxit exercitum.

93. Sed priuſquam ad Iſtrum perveniret, primos ſubegit Getas, qui de immortalitate ſectam ſequuntur. Nam Thraces qui obtinent Salmydeſſum, quique ſupra Apolloniam et Meſambriam urbem incolunt, et qui Cyrmianae et Mypſaei vocantur, ſine pugna ſeſe ipſos Dario dediderunt. Getae vero ad pervicaci-

Digitized by Google

ΠΑΝΤΩΝ ΑΝΘΡΩΠΩΝ, ΔΑΡΕΙΟΣ Ὁ ΥΣΤΑΣΠΕΟΣ, ΠΕΡΣΕΩΝ ΤΕ ΚΑΙ ΠΑΣΗΣ ΤΗΣ ΗΠΕΙΡΟΥ ΒΑΣΙΛΕΥΣ. ταῦτα δὲ ἐνθαῦτα ἐφράφη.

ϛϚ'. Δαρεῖος δὲ ἐνθεῦτεν ὁρμηθεὶς, ἀπίκελο ἐς ἄλλον ποταμὸν, τῷ ὄνομα Αρτισκός ἐσι, ὃς δὴ διὰ Οδρυσῶν ῥέει. ἐπὶ τοῦτον δὴ τὸν ποταμὸν ἀπικόμενος ἐποίησε τοιόνδε· ἀποδέξας χωρίον τῇ στρατιῇ, ἐκέλευε πάντα ἄνδρα λίθον ἕνα παρεξιόντα τιθέναι ἐς τὸ ἀποδεδεγμένον τοῦτο χωρίον· ὡς δὲ ταῦτα ἡ στρατιὴ ἐπετέλεσε, ἐνθαῦτα κολωνοὺς μεγάλους [c] τῶν λίθων καταλιπὼν, ἀπήλαυνε τὴν στρατιήν.

ϛγ'. Πρὶν δὲ ἀπικέσθαι ἐπὶ τὸν Ιστρον, πρώτους αἱρέει Γέτας τοὺς ἀθανατίζοντας. οἱ μὲν γὰρ δὴ τὸν Σαλμυδησσὸν ἔχοντες Θρῆικες, καὶ ὑπὲρ Απολλωνίης τε καὶ Μεσαμβρίης πόλιος οἰκημένοι, καλεύμενοι δὲ Κυρμιᾶναι, καὶ Μυσοὶ, ἀμαχητὶ σφέας αὐτοὺς παρέδοσαν Δαρείῳ. οἱ δὲ Γέται,

[c] MS. μεγάλων.

Digitized by Google

πρὸς ἀγνωμοσύνην τραπόμενοι, αὐτίκα ἐδυλώθησαν, Θρηίκων ἐόντες ἀνδρειόταλοι καὶ δικαιόταλοι.

Ζδ'. Ἀθανατίζουσι δὲ τόνδε τὸν τρόπον· ὅτε ἀποθνήσκειν ἑωϋτοὺς νομίζουσι, ἰέναι τε τὸν ἀπολλύμενον παρὰ Ζάμολξιν δαίμονα. οἱ [d] δὲ αὐτέων τὸν αὐτὸν τοῦτον νομίζουσι Γεβελέϊζιν [e]. διὰ πεντετηρίδος δὲ τὸν πάλῳ λαχόντα αἰεί σφέων αὐτέων ἀποπέμπουσι ἄγγελον παρὰ τὸν Ζάμολξιν, ἐντελλόμενοι τῶν ἂν ἑκάστοτε δέωνται. πέμπουσι δὲ ὧδε· οἱ μὲν αὐτέων ταχθέντες, ἀκόντια τρία ἔχουσι· ἄλλοι δὲ διαλαβόντες τοῦ ἀποπεμπομένου [f] παρὰ τὸν Ζάμολξιν τὰς χεῖρας καὶ τοὺς πόδας, ἀνακινήσαντες αὐτὸν μετέωρον, ῥίπτουσι ἐς τὰς λόγχας. ἢν μὲν δὴ ἀποθάνῃ ἀναπαρείς, τοῖσιδε ἵλεως ὁ θεὸς δοκέει εἶναι· ἢν δὲ μὴ ἀποθάνῃ, αἰτιῶνται αὐτὸν τὸν ἄγγελον, φάμενοί μιν ἄνδρα κακὸν εἶναι. αἰτησάμενοι δὲ τοῦτον, ἄλλον ἀποπέμπουσι· ἐντέλλονται δὲ

[d] Ζάμολξιν· οἱ. sed MS. semper vocat Σάλμοξιν. [e] MS. νομίζουσι Βελεΐζιν. [f] MS. ὃς ἀποπεμπομένους.

am converſi, ſtatim in ſervitutem redacti ſunt, quum ſint fortiſſimi Thracum atque juſtiſſimi.

94. Immortalitatem autem tenent hoc modo: Nec mori ſe putant, et eum qui defunctus eſt, meare ad Zamolxin daemonem, quem nonnulli eorum opinantur eundem eſſe Gebeleizin. Per ſingula quinquennia eum qui ſorte ductus eſt, aſſidue ex ſe ipſis dimittunt nuncium ad Zamolxin, praecipientes ea quibus ſemper indigent: eumque ita mittunt; Quibuſdam eorum datur negotium, ut tria jacula teneant: aliis, ut comprehenſis ejus qui ad Zamolxin dimittitur, manibus pedibuſque, hominem agitantes in ſublime, jactent in jacula. Qui ſi transfixus extinguitur, propitium iſtis deum arbitrantur: ſin minus, ipſum nuntium cauſantur aſſeverantes malum illum eſſe virum. Hoc vituperato, alium dimittunt,

Digitized by Google

dantes adhuc viventi mandata. Iidem hi Thraces, dum tonat fulguratque, in coelum ſagittas excutiunt, deo minitantes, nec ullum alium deum praeter ſuum eſſe arbitrantes.

95. Verum (ut ego a Graecis accepi, Helleſpontum et Pontum incolentibus) Zamolxis hic, homo fuit, Samique ſervitutem ſervivit Pythagorae Mneſarchi filio. Illinc nactus libertatem, quum multum pecuniae comparaſſet, in patriam rediit. Qui quum animadverteret Thraces male viventes et ſubinſcite, ipſe edoctus Ionicum vivendi genus et mores liberaliores quam Thracum, ut qui verſatus eſſet cum Graecis, cumque Pythagora non infirmiſſimo inter Graecos ſophiſta, domicilium virile extruxit in quod primos quoſque popularium convivio accipiebat, et inter convivandum docebat, neque ſe neque ſuos convivas, neque illos qui in-

Digitized by Google

ἔτι ζῶντι. ἦτοι οἱ αὐτοὶ Θρήϊκες καὶ πρὸς βροντήν τε καὶ ἀστραπὴν τοξεύοντες ἄνω πρὸς τὸν οὐρανὸν, ἀπειλέουσι τῷ θεῷ οὐδένα ἄλλον θεὸν νομίζοντες εἶναι εἰ μὴ τὸν σφέτερον.

ζέ. Ὡς δὲ ἐγὼ πυνθάνομαι τῶν τὸν Ἑλλήσποντον οἰκεόντων Ἑλλήνων καὶ Πόντον [a], τὸν Ζάμολξιν τοῦτον ἐόντα ἄνθρωπον, δουλεῦσαι ἐν Σάμῳ· δουλεῦσαι δὲ Πυθαγόρῃ τῷ Μνησάρχου. ἐνθεῦτεν δὲ αὐτὸν γενόμενον [b] ἐλεύθερον, χρήματα κτήσασθαι συχνά. κτησάμενον δὲ, ἀπελθεῖν ἐς τὴν ἑωϋτοῦ. ἅτε δὲ κακοβίων τε ἐόντων τῶν Θρηϊκῶν καὶ ὑπαφρονεστέρων, τὸν Ζάμολξιν τοῦτον ἐπισάμενον διαίτην τε Ἰάδα, καὶ ἤθεα βαθύτερα ἢ κατὰ Θρήϊκας (οἷα Ἕλλησί τε ὁμιλήσαντα, καὶ Ἑλλήνων δὲ τῷ σοφωτάτῳ σοφιστῇ Πυθαγόρῃ) κατασκευάσασθαι ἀνδρεῶνα, ἐς τὸν πανδοκεύοντα τῶν ἀστῶν τοὺς πρώτους, καὶ εὐωχέοντα, ἀναδιδάσκειν ὡς οὔτε αὐτὸς, οὔτε οἱ συμπόται αὐ-

[a] Haec duo vocabula καὶ Πόντον absunt ab MS. [b] δὲ γενόμενον.

τῦ, ὅτε οἱ ἐκ τουτέων αἰεὶ γινόμενοι ἀποθανέονται, ἀλλ' ἥξουσι ἐς χῶρον τῦτον ἵνα ἀεὶ περιεόντες ἔζωσι τὰ πάντα ἀγαθά. ἐν ᾧ δὲ ἐποίεε τὰ καταλεχθέντα, καὶ ἔλεγε ταῦτα, ἐν τύτῳ κατάγαιον οἴκημα ἐποιέετο· ὡς δέ οἱ παντελέως εἶχε τὸ οἴκημα, ἐκ μὲν τῶν Θρηίκων ἠφανίσθη· καταβὰς δὲ κάτω ἐς τὸ κατάγαιον οἴκημα, διατᾶτο ἐπ' ἔτεα τρία· οἱ δέ μιν ἐπόθεόν τε καὶ ἐπένθεον ὡς τεθνεῶτα. τετάρτῳ δὲ ἔτεϊ ἐφάνη τοῖσι Θρηίξι, καὶ οὕτω πιθανά σφι ἐγένετο τὰ ἔλεγε ὁ Ζάμολξις. ταῦτα φασί μιν ποιῆσαι.

45. Ἐγὼ δὲ περὶ μὲν τύτυ καὶ [c] τοῦ καταγαίυ οἰκήματος ὅτε ἀπιστέω, ὅτε ὧν πιστεύω τι λίην [d]· δοκέω δὲ πολλοῖσι ἔτεσι πρότερον τὸν Ζάμολξιν τοῦτον γενέσθαι Πυθαγόρεω. εἴτε δὲ ἐγένετό τις Ζάμολξις ἄνθρωπος, εἴτ' ἔστι δαίμων τις Γέτῃσι οὗτος ἐπιχώριος, χαιρέτω. οὗτοι μὲν δὴ τρόπῳ τοιύτῳ χρεώμενοι, ὡς ἐχειρώθησαν

[c] Voces illae τύτυ καὶ non sunt in MS. [d] ὅτε πιστεύω λίην.

Digitized by Google

de ſemper gignerentur, interire: ſed in eum locum venturos ubi ſuperſtites perpetuo omnium bonorum compotes eſſent. Dum ea quae commemorata ſunt ageret atque diceret, interim ſubterraneum aedificium ſtruebat. Quo prorſus abſoluto, e Thracum conſpectu ſubductus fuit; deſcendens in illud ſubterraneum aedificium. ubi circiter triennium egit, deſiderantibus eum Thracibus, ac deflentibus tanquam mortuum. quarto anno ſe eiſdem in conſpectu dedit. atque ita credibilia ſunt effecta quae illis expoſuerat. Haec Zamolxin ajunt feciſſe.

96. Cujus ſubterranneo aedificio neque fidem detraho, neque valde credo, ſed multis eum ante Pythagoram annis extitiſſe arbitror. Verum ſive Zamolxis quiſpiam fuerit homo, ſive ſit daemon Getarum indigena, valeat. Getae hoc ritu utentes, ubi a Dario et Perſis ſub-

Digitized by Google

acti fuerunt, reliquum sunt exercitum sequuti.

97. Darius ubi ad Istrum pervenit, et una pedestres copiae, cunctique flumen transmiserunt, tunc vero jussit Iones, postquam ratem solvissent, sequi se pedestri itinere, cum nauticis copiis. Qui quum ratem soluturi essent et imperata facturi, Coes Erxandri filius, Mitylenaeorum dux, ita apud Darium verba facit, scisitatus antea nunquid ei gratum foret audire sententiam dicere volentis: ‘ Quum ‘ adversus eam terram rex facias expedi- ‘ tionem, in qua fertur nihil arari, nullas ‘ urbes coli, finito nunc pontem hoc lo- ‘ ci stare, relictis ad ejus tutelam custodi- ‘ bus iis qui eum contexuerunt: per quem ‘ sive ex sententia rem gerimus, Scythis ‘ inventis, sive illos invenire nequibimus, ‘ tutus nobis sit reditus. Neque enim ve-

Digitized by Google

ὑπὸ Δαρείᾳ καὶ [e] Περσέων, εἵπονλο τῷ ἄλλῳ στρατῷ.

ΔΖ. Δαρεῖος δὲ, ὡς ἀπίκελο καὶ ὁ πεζὸς ἅμ' αὐτῷ στρατὸς ἐπὶ τὸν Ἴστρον, ἐνθαῦτα διαβάντων πάντων, Δαρεῖος ἐκέλευσε τὺς Ἴωνας τὴν σχεδίην λύσαντας, ἕπεσθαι καθ' ἤπειρον ἑωϋτῷ, καὶ τὸν ἐκ τῶν νεῶν στρατόν. μελλόντων δὲ τῶν Ἰώνων λύειν, καὶ ποιέειν τὰ κελευόμενα, Κώης ὁ Ἐρξάνδρου, στρατηγὸς ἐὼν Μιτυληναίων, ἔλεξε Δαρείῳ τάδε, πυθόμενος πρότερον εἰ οἱ φίλον εἴη γνώμην ἀποδέκεσθαι [f] παρὰ τοῦ βουλομένου ἀποδείκνυσθαι, ‘Ω βα-
‘σιλεῦ, ἐπὶ γῆν γὰρ μέλλεις στρατεύε-
‘σθαι, τῆς ὔτε ἀρηρομένον φανήσεται οὐ-
‘δὲν, ὔτε πόλις οἰκεομένη. σὺ νῦν γεφύρην
‘ταύτην ἔα κατὰ χώρην ἑστάναι, φυλά-
‘κας αὐτῆς λιπὼν τύτυς οἵπερ μιν ἔζευ-
‘ξαν. καὶ ἤν τε κατὰ νόον πρήξωμεν εὑρόν-
‘τες Σκύθας, ἔσαι ἄποδος ἡμῖν· ἤν τε καὶ
‘μὴ σφεας εὑρεῖν δυνεώμεθα [g], ἥ γε ἄπο-

[e] Voces hae Δαρείᾳ καὶ absunt a MS. [f] ἀποδέκνυσθαι. [g] δυνώμεθα.

‘ δος ἡμῖν ἀσφαλής. οὐ γὰρ ἔδεισά κω μὴ
‘ ἐσωθέωμεν ὑπὸ Σκυθέων μάχῃ, ἀλλὰ
‘ μᾶλλον μὴ ὐ δυνάμενοι σφέας εὑρεῖν, πά-
‘ θωμέν τι ἀλώμενοι. κ᾽ τάδε λέγειν φαίη
‘ τις ἄν με ἐωϋτῦ εἵνεκεν, ὡς καταμένω·
‘ ἐγὼ δὲ γνώμην μὲν τὴν εὕρισκον ἀρίϛην
‘ σοι βασιλεῦ, ἐς μέσον Φέρω [a]· αὐτὸς μέν-
‘ τοι ἔφομαί τοι, καὶ οὐκ ἂν λειφθείην.’
κάρτα τε ἥσθη τῇ γνώμῃ Δαρεῖος, καί μιν
ἠμείψατο τοῖσδε, ‘ Ξεῖνε Λέσβιε, σωθέντος
‘ ἐμεῦ ὀπίσω ἐς οἶκον τὸν ἐμὸν, ἐπιφάνηθί
‘ μοι πάντως, ἵνα σε ἀντὶ χρηϛῆς συμβου-
‘ λίης χρηϛοῖσι ἔργοισι ἀμείψωμαι.’

Ϛή. Ταῦτα δὲ εἴπας [b], καὶ ἀπάψας
ἄμματα ἑξήκοντα ἐν ἱμάντι, καλέσας ἐς λό-
γους τὺς Ἰώνων τυράννυς, ἔλεγε τάδε, ‘ Ἄν-
‘ δρες Ἰώνες, ἡ μὲν πρότερον γνώμη ἀπο-
‘ δεχθεῖσα ἐς τὴν γέφυραν, μετείσθω μοι.
‘ ἔχοντες δὲ τὸν ἱμάντα τόνδε, ποιέετε τά-
‘ δε· ἐπεάν με ἴδητε τάχιϛα πορευόμενον
‘ ἐπὶ Σκύθας, ἀπὸ τούτυ ἀρξάμενοι τοῦ

[a] φήσω est in MS. [b] ταῦτα εἴπας.

‘ ritus fuerim, ne proelio a Scythis ſupe-
‘ remur: ſed potius ne ſi eos invenire ne-
‘ queamus, aliquid patiamur errábundi.
‘ At enim credat me quiſpiam mea ipſi-
‘ us cauſſa haec dicere, ut hîc ſubſiſtam:
‘ ego vero, quod in tuam rem eſſe ſentio,
‘ rex, id in medium profero. ipſe tamen
‘ te ſequi volo, neque hîc relinqui.’ De-
lectatus admodum eo conſilio Darius, ita
reſpondit, ‘ Hoſpes Lesbie, fac omnino
‘ quum ſoſpes domum rediero, praeſto
‘ mihi ſis, ut te ob egregium conſilium
‘ egregiis factis remunerem.’

98. Haec loquutus, ubi ſexaginta no-
dis lorum innodavit, accitis ad colloqui-
um tyrannis Ionum, ita loquutus eſt, ‘ Vi-
‘ ri Iones, quam prius habueram de pon-
‘ te ſententiam, eam miſſam facio. vos
‘ ſumpto hoc loro, haec ita velim agatis:
‘ ſimulatque videritis me iter facere in
‘ Scythas, ex eo tempore incipientes, ſol-

Digitized by Google

'vite quotidie unum nodum: intra quod 'tempus niſi adfuero, ſed dies nodorum 'vobis exierint, vela facite in patriam ve-'ſtram. interea, quoniam conſilium ſic 'mutavi, agite cuſtodiam ratis, omne ſtu-'dium illi et conſervandae et cuſtodien-'dae adhibentes: quod facientes, majo-'rem in modum mihi gratificabimini.' Haec loquutus Darius, promovet exercitum.

99. Thracia tellus in mare tendens, Scythicae praetenditur; ſed ſinu ejus terrae ducto Scythica excipit: et Iſter ad hanc in ventum eurum os converſus exit. Quod autem ab Iſtro ſoli ipſius Scythici ſecundum mare eſt, id metiendo indicare aggrediar: Ab Iſtro haec jam vetus Scythia eſt, meridiem verſus et auſtrum poſita, uſque ad urbem Carcinitin. ejuſdem deinceps quod ad idem mare fert

Digitized by Google

χρόνου, λύετε ἅμα ἓν ἑκάστης ἡμέρης· ἢν δὲ τούτῳ [a] τῷ χρόνῳ μὴ παρέω, ἀλλὰ διέλθωσι [b] ὑμῖν αἱ ἡμέραι τῶν ἁμμάτων, ἀποπλέετε ἐς τὴν ὑμετέρην αὐτέων. μέχρι δὲ τούτου, ἐπεί τε ὕτω μετέδοξε, φυλάσσετε τὴν χεδίην, πᾶσαν προθυμίην σωτηρίης τε καὶ φυλακῆς παρεχόμενοι. ταῦτα δὲ ποιεῦντες, ἐμοὶ μεγάλως χαριεῖσθε.' Δαρεῖος μὲν ταῦτα εἴπας ἐς τὸ πρόσω ἐπείγετο.

ζθ'. Τῆς δὲ Σκυθικῆς γῆς ἡ Θρηίκη τὸ ἐς θάλασσαν πρόκειται· κόλπου δὲ ἀγομένου τῆς γῆς ταύτης, ἡ Σκυθικὴ τε ἐκδέκεται, καὶ ὁ Ἴστρος ἐκδιδοῖ ἐς αὐτὴν, πρὸς εὖρον ἄνεμον τὸ στόμα τετραμμένος. τὸ δὲ ἀπὸ Ἴστρου ἔρχομαι σημανέων, τὸ πρὸς θάλασσαν αὐτῆς Σκυθικῆς χώρης ἐς μέτρησιν. Ἀπὸ Ἴστρου αὕτη ἤδη ἀρχαίη Σκυθικὴ ἐστι [c] πρὸς μεσαμβρίην τε καὶ νότον ἄνεμον κειμένη, μέχρι πόλιος καλεομένης Καρκινίτιδος. τὸ δὲ ἀπὸ ταύτης, τὴν μὲν

[a] δὲ ἐν τούτῳ. [b] διεξέλθωσιν. [c] Σκυθίη ἐστὶ.

ἐπὶ θάλασσαν τὴν αὐτὴν φέρουσαν, ἐοῦσαν ὀρεινήν τε χώρην καὶ προκειμένην τὸ ἐς Πόντον, νέμεται τὸ Ταυρικὸν ἔθνος, μέχρι Χερσονήσου τῆς τραχέης καλεομένης. αὕτη δὲ ἐς θάλασσαν τὴν πρὸς ἀπηλιώτην ἄνεμον κατήκει. ἔστι γὰρ τῆς Σκυθικῆς τὰ δύο μέρεα τῶν ὤρων ἐς θάλασσαν φέροντα, τήν τε πρὸς μεσαμβρίην, καὶ τὴν πρὸς τὴν ἠῶ, κατάπερ τῆς Ἀττικῆς χώρης. καὶ παραπλήσια ταύτῃ καὶ οἱ Ταῦροι νέμονται τῆς Σκυθικῆς, ὡς εἰ τῆς Ἀττικῆς ἄλλο ἔθνος καὶ μὴ Ἀθηναῖοι νεμοίατο τὸν γουνὸν τὸν Σουνιακὸν, μᾶλλον ἐς τὸν πόντον τῇ ἄκρην ἀνέχοντα τὸν ἀπὸ Θορικοῦ μέχρι Ἀναφλύστου δήμου. λέγω δὲ, ὡς εἶναι ταῦτα σμικρὰ μεγάλοισι συμβάλλειν. τοιοῦτον [d] ἡ Ταυρικὴ ἐστι. ὃς δὲ τῆς Ἀττικῆς ταῦτα μὴ παραπέπλωκε, ἐγὼ δὲ ἄλλως δηλώσω· ὡς εἰ τῆς Ἰηπυγίης ἄλλο ἔθνος, καὶ μὴ Ἰήπυγες, ἀρξάμενοι ἐκ Βρεντεσίου λιμένος, ἀποταμοίατο μέχρι Τά-

[d] τοιοῦτο.

montanae regionis, et in Pontum prominens, incolit gens Taurica uſque ad Cherſoneſum dictam aſperam. Haec ad mare pertinet quod ad ventum ſubſolanum eſt. Sunt autem finium Scythicae partes duae, ferentes ad mare, tum quod ad meridiem, tum quod ad orientem, quemadmodum Atticae regionis. Et ſimilem partem Scythiae Tauri incolunt, ut ſi Atticae jugum Suniacum alia gens, non Athenienſes, incoleret, quod magis in pontum, qui eſt ab Thorico uſque ad Anaphlyſtum populum, porrigit promontorium. talis eſt (ut parva cum magnis comparem) Taurica regio. Qui autem non eſt has Atticae partes praetervectus, huic alio modo planum faciam: ut ſi Japygiae alia gens et non Japyges, incipientes a Brunduſio portu praecidantur uſque Tarentum, et promontorium inco-

Digitized by Google

lant. Quum haec duo dico, multa perſimilia dico, quibus aliis Taurica eſt comparanda.

100. Ab Taurica deinceps Scythae ſupra Tauros et orientale verſus mare incolunt, et quae Boſpori Cimmerii ſunt ad veſperam vergentia, et quae paludis Maeotidis Tanai fluvio tenus, qui influit in hujus paludis receſſum. Itaque ab Iſtro jam quae ad ſuperiora pertinet ferentia in mediterranea, ſecluditur Scythia ab primis Agathyrſis, deinde a Neuris, deinde ab Androphagis, poſtremo a Melanchlaenis.

101. Itaque Scythiae veluti formam quadratam habentis, duabus partibus ad mare pertinentibus, prorſus aequale, tum quod ad mediterranea fert, tum quod ad mare. nam ab Iſtro ad Boryſthenem, decem dierum eſt iter, tantundem a Boryſthene ad Maeotin paludem. A mari me-

Digitized by Google

ρανίος, καὶ νεμοίαλο τὴν ἄκρην. δύο δὲ λέγων ταῦτα, πολλὰ λέγω παρόμοια, τοῖσι ἄλλοισι ἔοικε ἡ Ταυρική.

ρ'. Τὸ δ' ἀπὸ τῆς Ταυρικῆς, ἤδη Σκύθαι τὸ καλύπερθε τῶν Ταύρων ϗ τὰ πρὸς θαλάσσης τῆς ἠοίης νέμονται· τῇ τε Βοσπόρῳ τῇ Κιμμερίῳ τὰ πρὸς ἑσπέρης, καὶ τῆς λίμνης τῆς Μαιήτιδος, μέχρι Τανάϊδος ποταμῷ, ὃς ἐκδιδοῖ ἐς μυχὸν τῆς λίμνης ταύτης. ἤδη ὦν ἀπὸ μὲν Ἴστρου τὰ κατύπερθε ἐς τὴν μεσόγαιαν φέροντα ἀποκληίεται ἡ Σκυθικὴ ὑπὸ πρώτων Ἀγαθύρσων· μετὰ δὲ, Νευρῶν· ἔπειτα δὲ, Ἀνδροφάγων· τελευταίων δὲ, Μελαγχλαίνων.

ρα'. Ἐστι ὦν τῆς Σκυθικῆς, ὡς ἐούσης τετραγώνου, τῶν δύο μερέων κατηκόντων ἐς θάλασσαν, πάντη ἴσον τό, τε ἐς τὴν μεσόγαιαν φέρον ϗ τὸ παρὰ τὴν θάλασσαν. ἀπὸ γὰρ Ἴστρου ἐπὶ Βορυσθένεα δέκα ἡμερέων ὁδός· ἀπὸ Βορυσθένεός τ' ἐπὶ τὴν λίμνην τὴν Μαιῆτιν, ἑτέρων δέκα, ϗ τὸ ἀπὸ

θαλάσσης ἐς μεσόγαιαν ἐς τοὺς Μελαγχλαίνας τοὺς κατύπερθε Σκυθέων οἰκημένους, εἴκοσι ἡμερέων ὁδός. ἡ δὲ ὁδὸς ἡ ἡμερησίη ἀνὰ διηκόσια στάδια συμβέβληταί μοι. οὕτω ἂν εἴη πρὸς Σκυθικῆς [e] τὰ ἐπίκαρσια, τετρακισχιλίων σταδίων· καὶ τὰ ὄρθια τὰ ἐς τὴν μεσόγαιαν φέρονθα, ἑτέρων τοσούτων σταδίων. ἡ μέν νυν γῆ αὕτη ἔστι μέγαθος τοσαύτη.

ρό. Γιγαμέων δὲ ἔχονται τὸ πρὸς ἑσπέρης Ασβύσαι [c]. οὗτοι ὑπὲρ [d] Κυρήνης οἰ-

[a] MS. τιλιγάμμαι et mox γιλιγαμμίων. [b] μεταξὺ χώρῳ τύτῳ ἥτε. [c] MS. Ασύνται bis atque item mox Ασυντέων. [d] ὕτω τὸ ὑπίρ.

Digitized by Google

jicit. Hoc iſti ex omnibus Afris ſoli factitant: ſolique virgines nupturas regi exhibent, et quae illi placuerit, eam devirginat. Pertinent hi Adyrmachidae ab Aegypto ad portum uſque nomine Pleunum.

169. His confines ſunt Gigamae, regionem verſus occaſum incolentes, Aphrodiſiade tenus inſula. In hujus loci medio adſita eſt inſula Platea, quam condidere Cyrenaei. Atque in continente eſt portus Menelaius et Aziris, quam Cyrenaei incoluere. Et hinc Silphium incipit, ab inſula Platea pertinens uſque ad os Syrtis. Apud hos iidem pene ritus qui apud alios ſunt.

170. Gigamas ab occaſu contingunt Asbyſtae, qui ſupra Cyrenen incolentes

Digitized by Google

non pertinent ad mare. nam maritima Cyrenaei incolunt. Iidem non poſtremi, ſed praecipui Afrorum ſunt in quadrigis regendis, ſtudioſi in Cyrenaeorum legibus pleraque ex parte imitandis.

171. Horum ſunt occaſum verſus confines Auſchiſae, qui ſupra Barcam incolentes ad mare pertinent prope Eueſperidas. Circa mediam Auſchiſarum plagam habitant Cabales, exigua natio, ad mare pertinentes circa Tauchiram oppidum agri Barcaei, eiſdem quibus ii qui ſupra Cyrenen ſunt, legibus utentes.

172. Auſchiſarum quod ad occaſum vergit, contingunt Naſamones, grandis natio, qui ſub aeſtatem relictis ad mare pecoribus, adſcendunt ad locum Augila decerpturi palmulas. nam palmae illic et permultae ſunt, et ſpatioſae, et fructiferae omnes. Locuſtas ubi venando cepe-

Digitized by Google

κέασι. ἐπὶ θάλασσαν δὲ ἃ κατήκουσι Ασβύσαι. τὸ γὰρ παρὰ θάλασσαν Κυρηναῖοι νέμονται. τεθριππεύεται δὲ οὐκ ἦκισα ἀλλὰ μάλιστα Λιβύων εἰσί. νόμους δὲ τοὺς πλεῖνας μιμέεσθαι ἐπιτηδεύουσι τοὺς Κυρηναίων.

ροα'. Ασβυστέων δὲ ἔχονται τὸ πρὸς ἑσπέρης Αὐχίσαι· οὗτοι ὑπὲρ Βάρκης οἰκέουσι, κατήκοντες ἐπὶ θάλασσαν καὶ Εὐεσπερίδας. Αὐχισέων δὲ κατὰ μέσον τῆς χώρης οἰκέουσι Κάβαλες, ὀλίγον ἔθνος, κατήκοντες ἐπὶ θάλασσαν κατὰ Ταύχειρα πόλιν τῆς Βαρκαίης. νόμοισι δὲ τοῖσι αὐτοῖσι χρέωνται τοῖσι καὶ οἱ ὑπὲρ Κυρήνης.

ροβ'. Αὐχισέων δὲ τυτέων τὸ πρὸς ἑσπέρης ἔχονται Νασάμωνες, ἔθνος ἐὸν πολλόν· οἳ τὸ θέρος καταλείποντες ἐπὶ τῇ θαλάσσῃ τὰ πρόβατα, ἀναβαίνουσι ἐς Αὔγιλα [a] χῶρον ὀπωριεῦντες τοὺς φοίνικας· οἱ δὲ, πολλοὶ καὶ ἀμφιλαφέες πεφύκασι, πάντες ἐόντες καρποφόροι. τοὺς δὲ ἀτελέ-

[a] Αἴγιλα.

ὃς ἐπεὰν θηρεύσωσι, αὐήναντες πρὸς τὸν ἥλιον, καταλέγουσι· καὶ ἔπειτα γάλα ἐπιπάσσοντες, πίνουσι. γυναῖκας δὲ νομίζοντες πολλὰς ἔχειν ἕκαστος, ἐπίκοινον αὐτέων τὴν μίξιν ποιεῦνται· τρόπῳ παραπλησίῳ τῷ καὶ Μασσαγέται, ἐπεὰν σκί πωνα [b] προσήσωνται, μίσγονται. πρῶτον δὲ γαμέοντος Νασάμωνος ἀνδρὸς, νόμος ἐστὶ τὴν νύμφην νυκτὶ τῇ πρώτῃ διὰ πάντων διεξελθεῖν τῶν δαυτυμόνων μισγομένην. τῶν δὲ ὡς ἕκαστός οἱ μιχθῇ, διδοῖ δῶρον τὸ ἂν ἔχῃ φερόμενος ἐξ οἴκου. Ὀρκίοισι [c] δὲ καὶ μαντικῇ χρέωνται τοιῇδε. ὀμνύουσι μὲν τοὺς παρὰ σφίσι ἄνδρας δικαιοτάτους καὶ ἀρίστους λεγομένους γενέσθαι τούτους, τῶν τύμβων ἁπτόμενοι. μαντεύονται δὲ ἐπὶ τῶν προγόνων φοιτέοντες τὰ σήματα· καὶ κατευξάμενοι, ἐπικοιμῶνται [d]. τὸ δ' ἂν ἴδῃ ἐν τῇ [e] ὄψει ἐνύπνιον, τούτῳ χρῶνται. πίστισι δὲ τοίῃσι χρέωνται. ἐκ τῆς χειρὸς διδοῖ πιεῖν, καὶ αὐτὸς ἐκ τῆς τοῦ ἑτέρου πίνει. ἢν δὲ μὴ

[b] σκήπτωνα. [c] ὅρκοισι. [d] ἐπικαθικοιμέωνται. [e] ἂν ἴδοιεν τῇ.

rint ad ſolem ſiccantes, molunt, deinde lacte adſperſo ſorbillant. Uxores multas ſinguli e conſuetudine habent, et cum eis communem faciunt coitum, eodem paene quo Maſſagetae modo, prius ſcipione praefixo. Naſamonibus mos eſt, quum quis primum ducit uxorem, prima nocte ut ſponſa ſingulos convivas obeat concubitus gratia, et ut quiſque illorum cum ea concubuit, donum det illi quod ſecum habet domo allatum. Jurejurando ac divinatione tali utuntur: Per eos viros qui juſtiſſimi atque optimi apud illos fuiſſe dicuntur, jurant, illorum ſepulcra tangentes. Divinant, ad majorum accedentes monumenta, et illis, ubi preces peregerunt, indormiunt: ubi quodcunque per quietem inſomnium viderunt, eo utuntur. Fidei dandae conſuetudo haec eſt: De manu alterius uterque invicem bibit. quod

Digitized by Google

ſi nihil humoris habuerint, ſumptum e terra cinerem lingunt.

173. Naſamonibus confines ſunt Pſylli, qui hunc in modum interciderunt: Notus eis omnia receptacula aquarum arefecerat: erat autem omnis eorum regio intra Syrtin et aquarum inops. Ob id iſti publico colloquio atque conſilio expeditionem fecere adverſus notum. (quae Afri memorant ipſa refero) et quum ad arenas veniſſent, notus ſpirans ipſos obruit. Pſyllis extinctis, eorum terram Naſamones obtinent.

174. Super hos notum verſus, in regione feris frequenti Garamantes habitant, qui fugiunt quemcunque hominem et cujuſcunque commercium, nihil bellicae armaturae habentes, ac ne defendere quidem ſeſe ſcientes.

175. Hi ſupra Naſamones incolunt. Circa maritima vero, occaſum verſus, confines ſunt Macae, qui criſtas tondentur;

Digitized by Google

ἔχωσι ὑγρὸν μηδὲν, οἱ δὲ τῆς χαμάθεν [f] σποδῦ λαβόνλες λείχυσι.

ρογ'. Νασάμωσι δὲ προσόμουροί εἰσι Ψύλλοι. ὅτοι ἐξαπολώλασι τρόπῳ τοιῷδε· ὁ νότος σφι πνέων ἄνεμος τὰ ἕλυτρα τῶν ὑδάτων ἐξηύηνε. ἡ δὲ χώρη σφι πᾶσα ἐντὸς ἐοῦσα τῆς Σύρτιος, ἦν ἄνυδρος· οἱ δὲ βυλευσάμενοι κοινῷ λόγῳ, ἐστρατεύονλο ἐπὶ τὸν νότον· (λέγω δὲ ταῦτα τὰ λέγουσι Λίβυες) καὶ ἐπεί τε ἐγίνονλο ἐν τῇ ψάμμῳ, πνεύσας ὁ νότος κατέχωσέ σφεας. ἐξαπολομένων δὲ τουτέων, ἔχυσι τὴν χώρην οἱ Νασάμωνες.

ροδ'. Τυτέων δὲ κατύπερθε πρὸς νότον ἄνεμον, ἐν τῇ θηριώδεϊ οἰκέυσι Γαράμαντες, οἳ πάνλα ἄνθρωπον φεύγυσι, καὶ παντὸς ὁμιλίην· καὶ ὅτε ὅπλων ἐκτέαλαι ἀρήϊον ὐδὲν, ὅτε ἀμύνεσθαι ἐπιστέαλαι.

ροε'. Οὗτοι μὲν δὴ κατύπερθε οἰκέυσι Νασαμώνων. τὸ δὲ παρὰ τὴν θάλασσαν ἔχονται τὸ πρὸς ἑσπέρης Μάκαι, οἳ λά-

[f] χαμόθεν.

φυς κείρονται· τὸ μὲν μέσον τῶν τριχῶν ἀνιέντες αὔξεσθαι, τὰ δὲ ἔνθεν καὶ ἔνθεν κείρονται [g] ἐν χροΐ· ἐς δὲ τὸν πόλεμον, σφενδόνας καταγαίων δορὰς φέρουσι [h] προβλήματα. διὰ δὲ αὐτῶν Κίνυψ ποταμὸς ῥέων ἐκ λόφου καλουμένου Χαρίτων, ἐς θάλασσαν ἐκδιδοῖ. ὁ δὲ λόφος οὗτος ὁ Χαρίτων δασὺς ἱδρῶτί ἐστι, ἐούσης τῆς ἄλλης τῆς προκαταλεχθείσης Λιβύης ψιλῆς. ἀπὸ θαλάσσης δὲ ἐς αὐτὸν στάδιοι διακόσιοί εἰσι.

ρος'. Μακέων δὲ τούτων ἐχόμενοι Γίνδανές εἰσι· τῶν αἱ γυναῖκες περισφύρια δερμάτων πολλὰ ἐκάστη φορέει κατὰ τοιόνδέ τι, ὡς λέγεται· κατ' ἄνδρα ἕκαστον μιχθέντα περισφύριον περιδέεται· ἡ δ' ἂν πλεῖστα ἔχῃ, αὕτη ἀρίστη δέδοκται εἶναι, ὡς ὑπὸ πλείστων ἀνδρῶν φιληθεῖσα.

ροζ'. Ακτὴν δὲ προέχουσαν ἐς τὸν πόντον τούτων τῶν Γινδάνων νέμονται Λωτοφάγοι· οἳ τὸν καρπὸν μοῦνον τοῦ λωτοῦ τρώγοντες ζώουσι. ὁ δὲ τοῦ λωτοῦ καρπὸς,

[g] κείρονται. [h] φορέουσι.

in medio capillos creſcere ſinentes, hinc atque hinc ad cutem uſque tondentur. In bellum pelles ſubterraneorum ſtruthionum ferunt pro tegumento. Per eos flumen Cinyps e colle, qui vocatur Gratiarum, fluens, in mare influit. Hic collis Gratiarum nemoribus frequens eſt, quum cetera, cujus memini, Africa ſit arboribus nuda. ducentorum ab eo ad mare ſtadiorum eſt intercapedo.

176. Horum Macarum finitimi ſunt Gindanes: quorum uxores ferunt faſcias ad pedum malleolos ex pellibus ſingulae multas, ob hoc, ut memoratur, quod ut a quoque viro venerem paſſa eſt, faſciam circumligat, et ut quaeque plurimas habet, ita praeclariſſima cenſetur, tanquam a plúribus viris adamata.

177. Horum Gindanum oram in mare porrectam incolunt Lotophagi, qui ſolum loti fructum manducantes victitant:

Digitized by Google

cujus fructus eſt magnitudine inſtar lentiſci, ſuavitate aſſimilis fructui palmarum. Ex hoc fructu Lotophagi vinum quoque conficiunt.

178. Lotophagis ſecundum mare vicini ſunt Machlyes, loto et ipſi utentes, ſed minus quam ſuperiores. Pertinent autem uſque ad ingentem amnem nomine Tritonem, qui in grandem paludem Tritonidem influit, in qua eſt inſula quae dicitur Phla. Hanc vero inſulam ajunt dici oraculum eſſe Lacedaemoniis condere.

179. Ajunt autem et haec: Jaſonem, poſteaquam ſub Pelio compacta eſt ab eo Argo, quum eam oneraviſſet tum alio centum victimarum onere, tum vero etiam tripode aereo, circuiſſe Peloponneſum, animo Delphos eundi: eumque, quum teneret curſum circa Maleam, abreptum a vento aquilone, et abductum in

Digitized by Google

ἔστι μέγαθος ὅσον τε τῆς [a] σχίνου· γλυκύτηλα δὲ, τὸ φοίνικος τῷ καρπῷ προσεικελος. ποιεῦνται δὲ ἐκ τοῦ καρποῦ τούτου οἱ Λωτοφάγοι καὶ οἶνον.

ροή. Λωτοφάγων δὲ τὸ παρὰ θάλασσαν ἔχονται Μάχλυες, τῷ λωτῷ [b] μὲν καὶ ἕτοι χρεώμενοι, ἀτὰρ ἥσσόν γε τῶν πρότερον λεχθέντων. κατήκουσι δὲ ἐπὶ ποταμὸν μέγαν, τῷ ὄνομα Τρίτων ἐστί· ἐκδιδοῖ δὲ ἕτος ἐς λίμνην μεγάλην Τριτωνίδα. ἐν δὲ αὐτῇ νῆσος ἔνι τῇ ὄνομα Φλά. ταύτην δὲ τὴν νῆσον Λακεδαιμονίοισι φασὶ λόγιον εἶναι κτίσαι.

ροθ'. Ἔστι δὲ καὶ ὅδε λόγος λεγόμενος· Ἰήσονα, ἐπεί τέ οἱ ἐξεργάσθη ὑπὸ τῷ Πηλίῳ ἡ Ἀργὼ, ἑσθέμενον ἐς αὐτὴν ἄλλην τε ἑκατόμβην, καὶ δὴ καὶ τρίποδα χάλκεον, περιπλώειν Πελοπόννησον, βουλόμενον ἐς Δελφοὺς ἀπίκεσθαι. καί μιν ὡς πλέοντα γενέσθαι κατὰ Μαλέην, ὑπολαβεῖν ἄνεμον βορέην, καὶ ἀποφέρειν πρὸς τὴν Λιβύην.

[a] ὅσον τὸ τῆς. [b] Μάχλυες, λωτῷ.

πρὶν δὲ κατιδέσθαι γῆν, ἐν τοῖσι βράχεσι γενέσθαι λίμνης τῆς Τριτωνίδος. καί οἱ ἀπορέοντι τὴν ἐξαγωγὴν λόγος ἐς ἰ φανῆναι Τρίτωνα, καὶ κελεύειν τὸν Ἰήσονα ἑωϋτῷ δῦναι τὸν τρίποδα· φάμενόν σφι καὶ τὸν πόρον δείξειν, καὶ ἀπήμονας ἀποσελέειν· πειθομένου δὲ τῦ Ἰήσονος, οὕτω δὴ τόν τε διέκπλοον τῶν βραχέων δεικνύναι τὸν Τρίτωνά σφι, καὶ τὸν Τρίποδα θεῖναι ἐν τῷ ἑωϋτῦ ἱρῷ· ἐπιθεσπίσαντά τε τῷ τρίποδι, καὶ τοῖσι σὺν Ἰήσονι σημήνανθα τὸν πάντα λόγον, ὡς ἐπεὰν τὸν τρίποδα κομίσηται τῶν ἐγγόνων τις τῶν ἐν τῇ Ἀργοῖ συμπλεόντων, τότε ἑκατὸν πόλιας οἰκῆσαι περὶ τὴν Τριτωνίδα λίμνην Ἑλληνίδας, πᾶσαν εἶναι ἀνάγκην. ταῦτα ἀκούσανθας τὺς ἐπιχωρίους τῶν Λιβύων, κρύψαι τὸν τρίποδα.

ρπ'. Τύτων δὲ ἔχονται τῶν Μαχλύων Αὐσῆς. οὗτοι δὲ καὶ οἱ Μάχλυες πέριξ τὴν Τριτωνίδα λίμνην οἰκέυσι. τὸ μέσον δέ σφι

Africam, et priusquam tellurem cerneret, in brevibus paludis Tritonidis fuisse: eique haesitanti de egressu fama fert apparuisse Tritonem, ac jussisse dari sibi tripodem, quod diceret ostensurum se illis exitum, atque incolumes dimissurum. Assentiente Jasone, ita demum Tritonem ostendisse qua ratione e brevibus enavigarent, et tripodem in suo templo posuisse, eique tripodi oraculum indidisse, et iis qui cum Jasone erant, rem omnem indicasse. Fore enim, ut quum quis ex posteris eorum qui in Argo simul navigarent, tripodem acceperit, necessario tunc centum Graecae civitates accolerent paludem Tritonidem. Haec quum audissent Afri incolae, tripodem occultasse.

180. Juxta hos Machlyes habitant Ausenses: et circum paludem Tritonidem utrique habitant, ita ut medio Trito-

Digitized by Google

ne dirimantur. Quorum Machlyes quidem occiput crinitum geſtant, Auſenſes vero ſinciput. Horum virgines, anniverſario Minervae feſto, in honorem ipſius deae inter ſe bifariam diviſae, proeliantur lapidibus fuſtibuſque, dicentes ſe ritus patrios peragere ei quam Minervam nominamus: et quae virgines e vulneribus decedunt, eas falſas virgines appellant. Sed priuſquam a pugnando deſiſtant, hoc faciunt: Quae virgo in pugna navavit optimam operam, eam ſemper communi conſenſu ornant cum cetera armatura Graeca, tum galea Corinthia, et currui impoſitam circa paludem circumducunt. Quibus autem rebus ornarentur olim hae virgines antequam accolerent Graeci, non habeo dicere. arbitror autem ornari ſuetas armis Aegyptiis. nam ab Aegypto affirmarim et ſcutum et galeam Graecis eſſe tradita. Ajunt autem Minervam Neptuni

Digitized by Google

ὁρίζει ὁ Τρίτων. καὶ οἱ μὲν Μάχλυες τὰ ὀπίσω κομέουσι τῆς κεφαλῆς· οἱ δὲ Αὐσῆς, τὰ ἔμπροσθεν. ὀρτῇ δὲ ἐνιαυσίῃ Αθηναίης αἱ παρθένοι αὐτῶν δίχα διαστᾶσαι μάχονται πρὸς ἀλλήλας λίθοισί τε καὶ ξύλοισι, τῇ αὐθιγένεϊ θεῷ λέγουσαι τὰ πάτρια ἀποτελέειν, τὴν Αθηναίην καλέομεν [a]. τὰς δὲ ἀποθνησκούσας παρθένους ἐκ τῶν τρωϋμάτων [b], ψευδοπαρθένους καλέουσι. πρὶν δ' ἀνεῖναι αὐτὰς μάχεσθαι, τάδε ποιεῦσι. κοινὴ παρθένον τὴν καλλιστεύουσαν ἑκάστοτε κοσμήσαντες κυνῇ τε Κορινθίῃ καὶ πανοπλίῃ Ἑλληνικῇ, καὶ ἐπ' ἅρμα ἀναβιβάσαντες, περιάγουσι τὴν λίμνην κύκλῳ. ὀτέοισι δὲ τοπάλαι ἐκόσμεον τὰς παρθένους πρὶν ἢ σφι Ἕλληνας παροικισθῆναι, οὐκ ἔχω εἰπεῖν· δοκέω δ' ὧν Αἰγυπτίοισι ὅπλοισι κοσμέεσθαι αὐτάς. ἀπὸ γὰρ Αἰγύπτου καὶ τὴν ἀσπίδα καὶ τὸ κράνος φημὶ ἀπῖχθαι ἐς τοὺς Ἕλληνας. τὴν δὲ Αθηναίην φασὶ Ποσειδέωνος εἶναι θυγατέρα καὶ

[a] καλέυσι. [b] MS. τρωμάτων.

τῆς Τριτωνίδος λίμνης· καί μιν μεμφθεῖσάν τι τῷ πατρὶ, δῦναι ἐωϋτὴν τῷ Διΐ· τὸν δὲ Δία ἑωϋτοῦ μιν ποιήσασθαι θυγατέρα. ταῦτα μὲν λέγουσι. μίξιν δὲ ἐπίκοινον τῶν γυναικῶν ποιέονται, ἅτε συνοικέοντες, κτηνηδόν τε μισγόμενοι. ἐπεὰν δὲ γυναικὶ τὸ παιδίον ἄδρὸν γενήται, συμφοιτέουσι ἐς τωὐτὸ οἱ ἄνδρες τρίτου μηνὸς, καὶ τῷ ἂν οἵκῃ [c] τῶν ἀνδρῶν τὸ παιδίον, τούτου παῖς νομίζεται.

ρπά. Οὗτοι μὲν οἱ παραθαλάσσιοι τῶν Νομάδων Λιβύων εἰρέαται. ὑπὲρ δὲ τούτων ἐς μεσόγαιαν ἡ θηριώδης ἐστὶ Λιβύη. ὑπὲρ δὲ τῆς θηριώδεος, ὄφρυη ψάμμης [d] κατήκει, παραλείνουσα ἀπὸ Θηβέων τῶν Αἰγυπτιέων ἐπὶ Ἡρακληίας σήλας. ἐν δὲ τῇ ὀφρύῃ ταύτῃ μάλιστα διὰ δέκα ἡμερέων ὁδὸν, ἅλός ἐστι τρύφεα κατὰ χόνδρους μεγάλους ἐν κολωνοῖσι, καὶ ἐν κορυφῇσι ἑκάστου τοῦ κολωνοῦ [e] ἀνακοντίζει ἐκ μέσου τοῦ ἅλὸς ὕδωρ ψυχρὸν καὶ γλυκύ. περὶ δὲ

[c] οἴκῃ. [d] ψάμμος. [e] τῶν κολωνῶν.

Digitized by Google

eſſe filiam ac paludis Tritonidis eamque ſuccenſentem neſcio quid patri donaſſe ſeipſam Jovi, et Jovem ſibi illam aſciviſſe filiam. Haec illi ajunt. Iidem promiſcue cum mulieribus, non una habitantes, ſed pecudum more concumbunt. Ubi apud mulierem puer robuſtus eſt factus, cui virorum ſimilis ſit puer, (nam tertio quoque menſe viri conveniunt) ejus filius cenſetur.

181. Iſti quidem maritimi Afrorum Nomadum dicti ſunt. Supra hos autem ad partem mediterraneam Africa eſt feris abundans. Supra hanc ferinam ſupercilium ſoli fabuloſum eſt, porrectum a Thebis Aegyptiis ad columnas Herculis. In hoc ſupercilio ferme decem dierum itinere ſunt fruſta ſalis, fere grumi grandes in collibus, et ſingulorum collium vertices e medio ſale ejaculantur aquam dulcem pariter et gelidam. Circa quam homines

Digitized by Google

habitant ultimi ſolitudinem verſus, et ſupra *plagam* ferinam *dictam*, a Thebis itinere dierum decem primi Ammonii, habentes templum ab Thebano Jove. Etenim Thebis (quemadmodum a me etiam memoratum eſt) aſpectu arietino Jovis ſimulacrum eſt. Apud hos eſt alia quoque aqua fontana, quae ſub matutinum quidem tepet, ſub horam autem fori repleti frigeſcit: ſub meridiem valde frigida eſt. eaque hora hortos irrigant. Declinante jam die remittitur frigus, donec ſol occidit: tunc tepeſcit; magis ac magis caleſcens, ad mediam accedit noctem; quo tempore fervens exaeſtuat: praeterita nocte media, ad auroram uſque refrigeſcit. cognominatur autem fons iſte, Solis.

182. Poſt Ammonios autem per ſupercilium ſabuli, decem rurſus dierum i-

Digitized by Google

αὐτὸ ἄνθρωποι οἰκέουσι ἔσχατοι πρὸς τῆς ἐρήμου, καὶ ὑπὲρ τῆς Θηριώδεος, πρῶτοι μὲν ἀπὸ Θηβέων διὰ δέκα ἡμερέων ὁδῷ Αμμώνιοι, ἔχοντες τὸ ἱρὸν ἀπὸ τοῦ Θηβαιέος Διός. καὶ γὰρ τὸ ἐν Θήβῃσι (ὡς καὶ πρότερον εἴρηταί μοι) κριοπρόσωπον τοῦ Διὸς τύφαλμά ἐστι. τυγχάνει δὲ καὶ ἄλλο σφι ὕδωρ κρηναῖον ἐόν· τὸ τὸν μὲν ὄρθρον γίνεται χλιαρὸν, ἀγορῆς δὲ πληθυούσης ψυχρότερον· μεσαμβρίη τέ ἐστι, καὶ τὸ κάρτα γίνεται ψυχρόν· τηνικαῦτα δὲ ἄρδουσι τοὺς κήπους. ἀποκλινομένης δὲ τῆς ἡμέρης ὑπίεται τοῦ ψυχροῦ, ἐς οὗ δύεταί τε ὁ ἥλιος, καὶ τὸ ὕδωρ γίνεται χλιαρόν. ἐπὶ δὲ μᾶλλον ἰὸν ἐς τὸ θερμὸν ἐς μέσας νύκτας πελάζει [a]. τηνικαῦτα δὲ ζέει ἀμβολάδην. παρέρχονταί τε μέσαι νύκτες καὶ ψύχεται μέχρι ἐς ἠῶ. ἐπικλήσιν δὲ αὕτη ἡ κρήνη καλέεται ἡλίου.

ρπϐ'. Μετὰ δὲ Αμμωνίους, διὰ τῆς ὀφρύης τῆς ψάμμου δι' ἀλλέων δέκα ἡμερέ-

[a] πελαγίζει.

ων ὁδοῦ, κόλωνός τε ἁλὸς ἐςι ὁμοῖος τῷ Αμμωνίῳ, κὴ ὕδωρ, κὴ ἄνθρωποι περὶ αὐτὸν οἰκέυσι· τῷ δὲ χώρῳ τύτῳ ὄνομα Αὔγιλά [b] ἐςι. ἐς τῦτον τὸν χῶρον οἱ Νασάμωνες ὀπωριεῦνλες τὺς φοίνικας φοιτέυσι.

ρπγ'. Απὸ δὲ Αὐγίλων, διὰ δέκα ἡμερέων ἀλλέων ὁδῦ, ἕτερος ἁλὸς κολωνὸς, κὴ ὕδωρ, κὴ Φοίνικες καρποφόροι πολλοὶ, καπάπερ κὴ ἐν τοῖσι ἑτέροισι· κὴ ἄνθρωποι οἰκέυσι ἐν αὐτῷ, τοῖσι οὔνομα Γαράμαντές ἐςι, ἔθνος μέγα ἰχυρῶς· οἳ ἐπὶ τὸν ἅλα γῆν ἐπιφορέονλες, ὕτω σπείρυσι. συντομώταλον δ' ἐςὶ ἐς τὺς Λωτοφάγυς· ἐκ τῶν τριήκοντα ἡμερέων ἐς αὐτοὺς ὁδός ἐςι· ἐν τοῖσι κὴ οἱ ὀπισθονόμοι βόες γίνονλαι. ὀπισθονόμοι δὲ διὰ τόδε εἰσί· τὰ κέρεα ἔχυσι κεκυφότα ἐς τὸ ἔμπροσθεν. διὰ τοῦτο ὀπίσω ἀναχωρέοντες, νέμονλαι· ἐς γὰρ τὸ ἔμπροσθεν ὐκ οἷοί τε εἰσὶ, προεμβαλλόνλων ἐς τὴν γῆν τῶν κερέων. ἄλλο δὲ ὐδὲν διαφέρουσι τῶν ἄλλων βοῶν ὅτι μὴ τῦτο, κὴ

[b] Αἴγιλα et mox Αἰγίλων.

tinere eſt collis ſalis, illi Ammonio par et aquâ, hominibus circumhabitantibus: cui loco nomen eſt Augila, ad quem locum Naſamones veniunt palmulas decerptum.

183. Rurſus decem dierum ſpatio ab Augilis alius collis eſt ſalis, et aqua, et palmularum fructiferarum magna vis, quemadmodum apud alios: incolentibus illic hominibus quibus nomen eſt Garamantes, natione ſane magna, qui inducta ſuper ſalem humo, ita ſerunt. Ab his ad Lotophagos breviſſimum iter. A quibus triginta dierum ſpatium eſt ad eos, apud quos gignuntur boves retro paſcentes. Propterea autem retro paſcentes, quod cornua inclinata anterius habent, et ob id ceſſim euntes paſcunt. nam praeinjicientibus in terram cornibus, progrediendo nequeunt: alioqui nihil differentes a ceteris bobus, praeter hoc ipſum et

Digitized by Google

craſſitudinem pellis atque duritiem. Garamantes hi Troglodytas Aethiopes quadrigis venantur. nam Troglodytae Aethiopes, omnium hominum quos fando cognovimus, perniciſſimis pedibus ſunt, ſerpentibus, lacertiſque et aliis id genus reptilibus veſcentes, lingua nulli alteri ſimili utentes, ſed veſpertilionum more ſtridentes.

184. A Garamantibus decem quoque dierum itinere alius collis eſt ſalis, et aqua: accolentibus hominibus quibus nomen eſt Atlantes, ſolis omnium hominum, quos ipſi novimus, innominatis. nam congregati quidem vocantur Atlantes, ſingulis autem eorum nullum nomen imponitur. Hi ſolem tranſcendentem execrantur eique praeterea omnia convitia ingerunt, quod torridus et ipſos et regionem perdat. Poſt totidem dierum iter

Digitized by Google

τὸ δέρμα ἐς παχύτητά τε καὶ τρίψιν. οἱ Γαράμαντες δὲ οὗτοι τοὺς Τρωγλοδύτας Αἰθίοπας θηρεύουσι τοῖσι τεθρίπποισι. οἱ γὰρ Τρωγλοδύται Αἰθίοπες πόδας τάχιστοι ἀνθρώπων πάντων εἰσὶ, τῶν ἡμεῖς περὶ λόγους ἀποφερομένους ἀκούομεν. σιτέονται δὲ οἱ Τρωγλοδύται ὄφις καὶ σαύρους, καὶ τὰ τοιαῦτα τῶν ἑρπετῶν. γλῶσσαν δὲ ὑδεμιῇ ἄλλῃ παρομοίην νενομίκασι, ἀλλὰ τετρύζασι, κατάπερ αἱ νυκτερίδες.

ρπδ'. Ἀπὸ δὲ Γαραμάντων δι' ἀλλέων δέκα ἡμερέων ὁδῷ, ἄλλος ἅλός τε κολωνὸς, καὶ ὕδωρ, καὶ ἄνθρωποι περὶ αὐτὸν οἰκέουσι, τοῖσι οὔνομά ἐστι Ατλαντες· οἳ ἀνώνυμοί εἰσι μοῦνοι ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν. ἀλέσι μὲν γάρ σφι ἐστὶ Ατλαντες ὄνομα, ἑνὶ δὲ ἑκάστῳ αὐτέων ὄνομα οὐδὲν κέεται. οὗτοι τῷ ἡλίῳ ὑπερβάλλοντι καταρῶνται, καὶ πρὸς τούτοισι πάντα τὰ αἰσχρὰ λοιδορέονται, ὅτι σφέας καίων ἐπιρρίβει, αὐτούς τε τοὺς ἀνθρώπους, καὶ τὴν χώρην αὐτέων. με-

τὰ δὲ, δι' ἀλλέων δέκα ἡμερέων ὁδῦ [c], ἄλλος κολωνὸς ἁλὸς, καὶ ὕδωρ, καὶ ἄνθρωποι περὶ αὐτὸν οἰκέυσι. ἔχεται δὲ τῦ ἁλὸς τύτυ οὖρος, τῷ ὄνομα ἐςὶ Ατλας [d]· ἔςι δὲ ςεινὸν ϗ κυκλοτερὲς πάντη. ὑψηλὸν δὲ οὕτω τι [e] λέγεται ὡς τὰς κορυφὰς αὐτῦ ὐκ οἷά τε εἶναι ἰδέσθαι. ὐδέκοτε γὰρ αὐτὰς ἀπολείπει νέφεα ὔτε θέρεος ὔτε χειμῶνος. τῦτο τὸν κίονα [f] τῦ ὐρανῦ λέγυσι οἱ ἐπιχώριοι εἶναι. ἐπὶ τύτυ τῦ ὄρεος οἱ ἄνθρωποι οὗτοι ἐπώνυμοι ἐγένοντο· καλέονται γὰρ δὴ Ατλαντες. λέγονται δὲ ὔτε ἔμψυχον ὐδὲν σιτέεσθαι, ὔτε ἐνύπνια ὁρᾶν.

ρπέ. Μέχρι μὲν δὴ τῶν Ατλάντων τύτων, ἔχω τὰ ὀνόματα τῶν ἐν τῇ ὀφρύῃ κατοικημένων καταλέξαι· τὸ δ' ἀπὸ τύτων, οὐκέτι. διήκει δ' ὧν ἡ ὀφρὺη μέχρι Ἡρακληίων ςηλέων, καὶ τὸ ἔξω τυτέων. ἔςι δὲ ἁλός τε μέταλλον ἐν αὐτῇ διὰ δέκα ἡμερέων ὁδῦ, ϗ ἄνθρωποι οἰκέοντες· τὰ δὲ οἰκία τύτοισι πᾶσι ἐκ τῶν ἁλίνων χόνδρων

c Haec vox ὁδῦ nunc in MS. non agnoscitur. [d] ὄνομα Ατλας. [e] ὕτω δή τι. [f] τῦτο κίονα.

alius tumulus ſalis eſt, cum aqua, et hominibus accolentibus. Cui ſali confinis eſt mons nomine Atlas, anguſtus, et undique teres: et (ut fertur) adeo celſus ut ejus cacumen nequeat cerni, quod a nubibus nunquam relinquatur, neque aeſtate neque hyeme: quem eſſe columnam coeli indigenae ajunt. Ab hoc monte cognominantur hi homines: nam Atlantes vocantur. dicunturque nec ulla animante veſci, nec ulla ſomnia cernere.

185. Ad hos uſque Atlantes poſſum recenſere nomina eorum qui in ſupercilio habitant, poſt hos non amplius. Porrigitur autem id ſupercilium ad columnas uſque Herculeas, atque extra illas. Intra quod eſt ſalis metallum, decem dierum itinere, et homines incolentes, qui domicilia ſua faciunt ex grumis ſalinis. iſti e-

Digitized by Google

nim jam tractus Lybiae vacant imbribus. nam si plueret, non possent manere parietes salis. ibi autem et albus et purpureus sal foditur. Supra autem hoc supercilium, notum versus ac mediterranea Africae, deserta jam plaga est, et sine aqua ferisque, sine pluvia ac lignis, omni prorsus humore vacans.

186. Ita ab Aegypto ad Tritonidem paludem, pastoricii Afri sunt carne victitantes ac lacte, nihil vaccinum gustantes, quia nec Aegyptii; et neque suem alentes. Vaccam quidem nec Cyrenaeae feminae tangere sibi fas putant, ob Isidem, quae est in Aegypto, cui etiam jejunia et dies festos studiose agunt. At mulieres Barcaeae non modo gustu vaccinae carnis, sed etiam suillae abstinent. Atque haec quidem ita habent.

187. Ad occasum vero Tritonidis

Digitized by Google

οἰκοδομέαλαι. ταῦτα γὰρ ἤδη τῆς Λιβύης ἄνομβρά ἐςι· ὃ γὰρ ἂν ἡδυνέαλο [a] μένειν οἱ τοῖχοι ἑόνλες ἄλινοι, εἰ ὗε. ὁ δὲ ἄλς αὐτόθι κὴ λευκὸς καὶ πορφύρεος τὸ εἶδος ὀρύσσεται. ὑπὲρ δὲ τῆς ὀφρύης ταύτης, τὸ πρὸς νότον κὴ μεσόγαιαν τῆς Λιβύης, ἔρημος κὴ ἄνυδρος κὴ ἄθηρος κὴ ἄνομβρος κὴ ἄξυλός ἐςι ἡ χώρη· καὶ ἰκμάδας ἐςὶ ἐν αὐτῇ ὐδέν.

ρπς'. Οὕτω μὲν μέχρι τῆς Τριτωνίδος λίμνης ἀπ' Αἰγύπλιοι νομάδες εἰσὶ κρεοφάγοι τε κὴ γαλακτοπόται Λίβυες· καὶ θηλέων τε βοῶν οὔ τοι γευόμενοι, διότιπερ ὐδὲ Αἰγύπλιοι, κὴ ὗς ὐ τρέφονλες. βοῶν μέν νυν θηλέων ὐδ' αἱ Κυρηναίων γυναῖκες διαιτεῦσι ἄπλεσθαι [b], διὰ τὴν ἐν Αἰγύπλῳ Ἶσιν, ἀλλὰ κὴ νηςείας αὐτῇ κὴ ὁρτὰς ἐπιτελέυσι· αἱ δὲ τῶν Βαρκαίων γυναῖκες ὐδὲ ὑῶν πρὸς τῆσι βυσὶ γεύονται. ταῦτα μὲν δὴ οὕτω ἔχει.

ρπζ'. Τὸ δὲ πρὸς ἑσπέρης τῆς Τριτω-

[a] γὰρ ἡδυναίλο. [b] πατίεσθαι.

νίδος λίμνης ὐκέτι νομάδες εἰσὶ Λίβυες, ὐδὲ νόμοισι τοῖσι αὐτοῖσι χρεώμενοι, οὐδὲ κατὰ τὰ παιδία ποιεῦντες οἷόν τι καὶ οἱ νομάδες ἐώθασι ποιέειν. οἱ γὰρ δὴ τῶν Λιβύων νομάδες, εἰ μὲν πάντες, οὐκ ἔχω ἀτρεκέως τῦτο εἰπεῖν [c]· ποιεῦσι δὲ αὐτῶν συχνοὶ τοιάδε. τῶν παιδίων τῶν σφετέρων, ἐπεὰν τελραελὲς γένηλαι, οἵσπη [d] προβάτων καίουσι τὰς ἐν τῆσι κορυφῆσι φλέβας· μετεξέτεροι δὲ αὐτέων, τὰς ἐν τοῖσι κροτάφοισι, τοῦδε εἵνεκα, ὡς μή σφεας ἐς τὸν πάντα χρόνον καταῤῥέον Φλέγμα ἐκ τῆς κεφαλῆς δηλῆται. καὶ διὰ τῦτό σφεας λέγυσι εἶναι ὑγιηροτάτυς (εἰσὶ γὰρ ὡς ἀληθέως οἱ Λίβυες ἀνθρώπων πάντων ὑγιηρότατοι, τῶν ἡμεῖς ἴδμεν· εἰ μὲν διὰ τῦτο, ὐκ ἔχω ἀτρεκέως εἰπεῖν [e], ὑγιηρότατοι δ' ὧν εἰσί) ἢν δὲ καίουσι τὰ παιδία σπασμὸς ἐπιγένηται, ἐξεύρηταί σφι ἄκος· τράγυ γὰρ οὖρον σπείσαντες ῥύονταί σφεας. λέγω δὲ τὰ λέγυσι αὐτοὶ Λίβυες.

[c] ἔπαι. [d] εἰσύπη. [e] ἔπαι.

paludis jam non ſunt paſcuales Afri, neque eiſdem moribus utentes, neque idem circa infantes quod paſcuales ſolent, factitantes. Nam Afrorum qui paſtorales ſunt plerique hoc faciunt, an omnes, non queo pro certo dicere. Ubi filii ipſorum quadrimi effecti ſunt, venas verticis illorum lana ovium ſuccida inurunt, nonnulli venas temporum: eam ob cauſſam ne eis ullo unquam tempore phlegma, *id eſt*, *pituita*, defluens e capite, officiat. eaque de re ſe ajunt eſſe optima valetudine. Et ſunt revera Afri inter omnes quos nos novimus homines ſaluberrimo corpore: incertum mihi an ob hanc utique cauſſam, certe optima valetudine ſunt. Quod ſi pueris inurendis convulſio exiſtat, inventa eſt ab eis medicina. urina enim hirci aſperſa eos liberant. Ea autem refero quae Afri ipſi narrant.

Digitized by Google

188. Porro ſacrificia apud paſtoricios talia ſunt: Ubi pro primitiis aurem pecudis praeſecuerunt, eam ſupra domum abjiciunt: hoc acto, cervicem ejus avertunt. ſolis autem immolant Soli et Lunae. et his quidem univerſi Afri ſacrificant: at qui circa Tritonidem paludem incolunt, etiam Minervae inprimis, tum Tritoni ac Neptuno.

189. A quibus Afris Graeci veſtem et aegidas ſimulacrorum Minervae mutuati ſunt; praeterquam enim quod coriacea ſit veſtis Africanarum, et prodeuntes ex aegidibus ipſi fimbriae non ſunt ſerpentes, ſed e loris factae: cetera vero omnia ad eandem formam efficta eſt: nomine quoque ipſo teſtificante veniſſe ex Africa Palladiorum ſtolam. Quippe Africanae mulieres circa veſtem amiciuntur nudis aegidibus, *caprinis pellibus non villoſis*, fimbriatis ac rubrica delibutis, a qui-

Digitized by Google

ρπή. Θυσίαι δὲ τοῖσι νομάσι εἰσὶ αἵδε. ἐπεὰν τὸ ὠτὸς ἀπάρξωνται τὸ κτήνεος, ῥιπτέουσι ὑπὲρ τὸν δόμον. τοῦτο δὲ ποιήσαντες, ἀποστρέφουσι τὸν αὐχένα αὐτοῦ. θύουσι δὲ ἡλίῳ καὶ σελήνῃ μούνοισι. τούτοισι μέν νυν πάντες Λίβυες θύουσι· ἀτὰρ οἱ περὶ τὴν Τριτωνίδα λίμνην νέμοντες, τῇ Ἀθηναίῃ μάλιστα, μετὰ δὲ, τῷ Τρίτωνι καὶ τῷ Ποσειδέωνι.

ρπθ. Τὴν δὲ ἄρα ἐσθῆτα καὶ τὰς αἰγίδας τῶν ἀγαλμάτων τῆς Ἀθηναίης ἐκ τῶν Λιβυσέων ἐποιήσαντο οἱ Ἕλληνες· πλὴν γὰρ ἢ ὅτι [a] σκυτίνη ἡ ἐσθὴς τῶν Λιβυσέων ἐστὶ, καὶ οἱ θύσανοι, οἵ ἐκ τῶν αἰγίδων αὐτῇ εἰσι [b], οὐκ ὄφιές εἰσι, ἀλλὰ ἱμάντινοι· τὰ δὲ ἄλλα πάντα κατὰ τὠυτὸ ἔσταλται. καὶ δὴ καὶ τοὔνομα καταγορέει ὅτι ἐκ Λιβύης ἦκει ἡ στολὴ τῶν Παλλαδίων. αἰγίδας γὰρ περιβάλλονται φιλὰς περὶ τὴν ἐσθῆτα θυσανωτὰς αἱ Λίβυσαι, κεχριμένας ἐρευθεδάνῳ. ἐκ δὲ

[a] γὰρ ὅτι. [b] αὐτῇσι.

τῶν αἰγέων τουτέων αἰγίδας οἱ Ἕλληνες μετωνόμασαν. δοκέει δ' ἔμοι γε καὶ ὁλολυγὴ ἐν ἱρῇσι ἐνθαῦτα πρῶτον γενέσθαι. κάρτα γὰρ ταύτῃ χρέωνται καλῶς αἱ Λίβυσαι. καὶ τέσσερας ἵππους συζευγνύναι [c] παρὰ Λιβύων οἱ Ἕλληνες μεμαθήκασι.

ρϛ'. Θάπτουσι δὲ τοὺς ἀποθνήσκοντας οἱ νομάδες, κατάπερ οἱ Ἕλληνες, πλὴν Νασαμώνων. οὗτοι δὲ κατημένους θάπτουσι, φυλάσσοντες, ἐπεὰν ἀπίῃ τὴν ψυχήν, ὅκως μιν κατίσουσι, μηδὲ ὕπτιος ἀποθανέεται. οἰκήματα δὲ σύμπηκτα ἐξ ἀνθερίκων ἐνειρμένων [d] περὶ σχοίνους ἐστὶ, καὶ ταῦτα περιφορητά. νόμοισι μὲν τοιούτοισι ὗτοι χρέωνται.

ρϛα'. Τὸ δὲ πρὸς ἑσπέρης [e] τῦ Τρίτωνος ποταμῦ, Αὐσέων ἔχονται ἀροτῆρες ἤδη Λίβυες, καὶ οἰκίας νομίζοντες ἐκτῆσθαι, τοῖσι ὄνομα κέεται Μάξυες· οἱ τὰ ἐπιδεξιὰ τῶν κεφαλέων κομόωσι, τὰ δ' ἐ-

[c] ζευγνῦναι. [d] ἐνειρμένων. [e] ἑσπέρην.

bus aegeis, *caprinis pellibus*, aegidas denominavere Graeci. Quinetiam hinc primum mihi videtur ejulatus in templis extitiſſe, quod eo Africanae mulieres vehementer utuntur ac belle. Et ab Africa quadrijugos equos jungere Graeci didicere.

190. Sepeliunt autem paſtorales Afri defunctos ut Graeci, praeter Naſamones, qui illos ſedentes ſepeliunt, obſervantes ut dum quis coepit agere animam, eum ſedentem conſtituant, ne ſupinus expiret. Domicilia eorum ſunt compacta ex aſphodeli caulibus immiſſis circa juncos, et ea quoquoverſus mobilia. Et iſti quidem talibus utuntur moribus.

191. Contingunt autem hos Auſenſes ab occidentali parte Tritonis fluminis ii Afri qui ſunt aratores, et domos poſſidere in uſu habent; quibus nomen impoſitum eſt Maxyes, qui dextram capitis

Digitized by Google

partem comatam geſtant, ſiniſtram tondent, corpus minio tingunt, aſſeverantes ſe a Trojanis eſſe oriundos. Regio autem haec et reliqua Africae ad occidentem vergens, multo frequentior eſt feris ſylviſque quam regio paſtoralium. Nam quae ad auroram Africae reſpicit, quam paſtorales incolunt, Tritone flumine tenus et depreſſa eſt et arenoſa: hinc deinceps quae aratorum eſt, veſperam ſpectans, montana valde eſt ac nemoroſa, feriſque frequens. Siquidem apud hos et ſerpentes ſunt ſupra modum grandes ac leones, elephantes quoque et urſi, et aſpides, et aſini cornibus praediti; et cynocephali, *capita canina habentes*, et acephali, *non habentes capita*, qui in pectoribus oculos habent, ut ab Afris memorantur, viri feminaeque ferae, et aliae permultae ferae haud ementitae.

192. Quorum nihil apud paſtorales

παρισερὰ κείρουσι· τὸ δὲ σῶμα μίλτῳ χρίονται. φασὶ δὲ ἔτοι εἶναι τῶν ἐκ Τροίης ἀνδρῶν. ἡ δὲ χώρη αὕτη τε καὶ ἡ λοιπὴ τῆς Λιβύης ἡ πρὸς ἑσπέρην, πολλῷ θηριωδεστέρη τε καὶ δασυτέρη ἐστὶ τῆς τῶν νομάδων χώρης. ἡ μὲν γὰρ δὴ πρὸς τὴν ἠῶ τῆς Λιβύης, τὴν οἱ νομάδες νέμονται, ἔστι ταπεινή τε καὶ ψαμμώδης, μέχρι τοῦ Τρίτωνος ποταμοῦ. ἡ δὲ ἀπὸ τούτου τὸ πρὸς ἑσπέρην, ἡ τῶν ἀροτήρων, ὀρεινή τε κάρτα καὶ δασέα καὶ θηριώδης. ἢ γὰρ οἱ ὄφιες οἱ ὑπερμεγάθεες, καὶ οἱ λέοντες κατὰ τοῦτους εἰσὶ, ἢ οἱ ἐλέφαντές τε ἢ ἄρκτοι, καὶ ἀσπίδες τε καὶ ὄνοι οἱ τὰ κέρεα ἔχοντες· καὶ οἱ κυνοκέφαλοι, καὶ οἱ ἀκέφαλοι οἱ [f] ἐν τοῖσι στήθεσι τοὺς ὀφθαλμοὺς ἔχοντες (ὡς δὴ λέγονταί γε [g] ὑπὸ Λιβύων) καὶ ἄγριοι ἄνδρες, καὶ γυναῖκες ἄγριαι, καὶ ἄλλα πλήθεϊ πολλὰ θηρία ἀκατάψευστα.

ρϛ'. Καλὰ τὰς Νομάδας δέ ἐστι τελέων

[f] ἢ οἱ κυνοκέφαλοι, οἱ. [g] λέγεται γε.

ὐδὲν, ἀλλ' ἄλλα τοιάδε [a], πύγαργοι, καὶ ζορκάδες, καὶ βυβάλιες, καὶ ὄνοι ὑκ οἱ τὰ κέρεα ἔχονλες, ἀλλὰ ἄλλοι ἄπολοι· ὐ γὰρ δὴ πίνυσι· ϗ ὄρυες, (τῶν τὰ κέρεα [b] τοῖσι Φοίνιξι οἱ πήχεες ποιεῦνλαι· μέγαθος δὲ τὸ θηρίον τῦτο καλὰ βῶν ἐςί) ϗ βασσάρια, ϗ ὕαιναι, ϗ ὕςριχες, ϗ κριοὶ ἄγριοι, καὶ δίκτυες, ϗ θῶες, ϗ πάνθηρες, καὶ βόρυες, ϗ κροκόδειλοι ὅσον τε τριπήχεες χερσαῖοι, τῇσι σαύρῃσι ἐμφερέςαλοι· καὶ ςρυθοὶ κατάγαιοι, καὶ ὄφιες μικροὶ, κέρας ἓν ἕκας ος ἔχονλες. ταῦτά τε δὴ αὐτόθι ἐςὶ θηρία, ϗ ἅπερ τῇ ἄλλῃ, πλὴν ἐλάφυ τε ϗ ὑὸς ἀγρίου. ἔλαφος δὲ καὶ ὗς ἄγριος ἐν Λιβύῃ πάμπαν ὑκ ἔςι. μυῶν δὲ γένεα τριξὰ αὐτόθι ἐςί· οἱ μὲν, δίποδες καλέονλαι· οἱ δὲ, ζεγέριες· (τὸ δὲ ὄνομα τῦτο ἔςι μὲν Λιβυκὸν, δύναλαι δὲ καὶ Ἑλλάδα γλῶσαν, βυνοί) οἱ δὲ, ἐχινέες [c]. εἰσὶ δὲ καὶ γαλαῖ ἐν τῷ σιλφίῳ γινόμεναι, τῇσι Ταρτησίῃσι ὁμοιόταλαι. τοσαῦτα μέν νυν θηρία ἡ

[a] τάδε. [b] τῶν κατὰ κέρεα. [c] ἐχῖνες.

eſt, ſed alia, veluti pygargi, et capreae, et bubali, et aſini, non illi quidem cornua habentes, ſed alii impoti: nunquam enim bibunt; et oryes, quorum cornua Phoenicibus inſerviunt ad fidium normas in cithara. hujus ferae magnitudo eſt ad bovem: et baſſaria, et hyaenae, et hyſtriches, et arietes feri, et dictyes, et thoës, et pantherae, et boryes, et crocodili tricubitales ferme terreſtres, lacertis ſimillimi et ſtruthi ſubterranei, et ſerpentes puſilli cum ſingulis cornibus. Hae ſunt illic ferae, et item ceterae quae alibi, praeter cervum et aprum. cervus enim et aper prorſus in Africa nullus eſt. Sunt ibidem quoque tria murium genera, quorum alii bipedes vocantur, alii zegeries, Africana lingua (quod in Graeca pollet idem quod *βουνοὶ, colles*) alii echines. Sunt praeterea muſtelae quae in ſilphio naſcuntur, Tarteſſiacis ſimillimae. Tot

Digitized by Google

habet feras Afrorum paſtoralium regio, quantum nos maxime ſcrutando longiſſime inveſtigare potuimus.

193. Maxyum autem Afrorum confines ſunt Zaueces, quibus feminae aurigantur currus ad bellum.

194. His finitimi ſunt Zygantes, ubi magnam vim mellis apes conficiunt, ſed multo plus opifices viri facere dicuntur. omnes autem minio inficiuntur, ac ſimiis veſcuntur, quarum eſt affatim iis in montibus naſcentium.

195. Juxta hos ajunt Carthaginienſes ſitam eſſe inſulam nomine Cyranin, ducentorum ſtadiorum longitudine, arctam latitudine, in quam tranſire e continente poteſt, oleis refertam ac vitibus; et in ea eſſe lacum, unde virgines indigenarum pennis volucrum pice illitis ramenta auri referunt e limo. Haec an vera ſint haud equidem ſcio, ſed quae nar-

Digitized by Google

τῶν Νομάδων Λιβύων γῆ ἔχει, ὅσον ἡμεῖς ἰσορέοντες ἐπὶ μακρότατον οἷοί τε ἐγενόμεθα ἐξικέσθαι.

ρϟγ'. Μαξύων δὲ Λιβύων Ζαύηκες ἔχονται, τοῖσι αἱ γυναῖκες ἡνιοχεῦσι τὰ ἅρματα ἐς τὸν πόλεμον.

ρϟδ'. Τούτων δὲ Ζύγαντες [d] ἔχονται, ἐν τοῖσι μέλι μὲν πολλὸν μέλισσαι καλεργάζονται, πολλῷ δ' ἔτι πλέον λέγεται δημιοργὸς ἄνδρας ποιέειν. μιλτοῦνται δ' ὦν πάντες οὗτοι, καὶ πιθηκοφαγέουσι· οἱ δέ σφι ἄφθονοι ὅσοι ἐν τοῖσι ὄρεσι γίνονται.

ρϟε'. Καλὰ τούτους δὲ λέγουσι Καρχηδόνιοι κεῖσθαι νῆσον τῇ οὔνομα εἶναι Κύρανιν [e]. μῆκος μὲν, διηκοσίων σταδίων, πλάτος δὲ, στεινὴν, διαβατὸν ἐκ τῆς ἠπείρου· ἐλαιέων τε μεστὴν καὶ ἀμπέλων. λίμνην δὲ ἐν αὐτῇ εἶναι, ἐκ τῆς αἱ παρθένοι τῶν ἐπιχωρίων, πτεροῖσι ὀρνίθων κεχριμένοισι πίσῃ, ἐκ τῆς ἰλύος ψῆγμα ἀναφέρουσι χρυσοῦ. ταῦτα εἰ μέν ἐστι ἀληθέως, οὐκ οἶ-

[d] MS. Γύζαντες. [e] MS. Κυραύνην.

δα, τὰ δὲ λέγεται γράφω. εἴη δ' ἂν πᾶν, ὅκυ καὶ ἐν Ζακύνθῳ ἐκ λίμνης καὶ ὕδατος πίσαν ἀναφερομένην αὐτὸς ἐγὼ ὥρεον. εἰσὶ μὲν καὶ πλεῦνες αἱ λίμναι αὐτόθι· ἡ δ' ὧν μεγίστη αὐτέων, ἑβδομήκοντα ποδῶν πάλη, βάθος δὲ, διόργυός ἐστι· ἐς ταύτην κοιλὸν καλιεῦσι, ἐπ' ἄκρῳ μυρσίνην προσδήσαντες, καὶ ἔπειτα ἀναφέρουσι τῇ μυρσίνῃ πίσαν, ὀδμὴν μὲν ἔχουσαν ἀσφάλτου, τὰ δ' ἄλλα, τῆς Πιερικῆς πίσης ἀμείνω. ἐχέουσι δὲ ἐς λάκκον ὀρωρυγμένον ἀγχοῦ τῆς λίμνης. ἐπεὰν δὲ ἀθροίσωσι συχνὴν, οὕτω ἐς τοὺς ἀμφορέας ἐκ τοῦ λάκκου καλαχέουσι. ὅ, τι δ' ἂν ἐσπέσῃ ἐς [f] τὴν λίμνην, ὑπὸ γῆν ἰὸν, ἀναφαίνεται ἐν τῇ θαλάσσῃ. ἡ δὲ ἀπέχει ὡς τέσσερα στάδια ἀπὸ τῆς λίμνης. οὕτω ὧν κὴ τὰ ἀπὸ τῆς νήσου τῆς ἐπὶ Λιβύῃ κειμένης εἰκότα ἐστὶ ἀληθηίη.

ρϟς'. Λέγουσι δὲ κὴ τάδε Καρχηδόνιοι, εἶναι τῆς Λιβύης χῶρόν τε κὴ ἀνθρώπους

[f] ἰσπίσοι ἰς.

rantur ſcribo. Fuerit autem totum, ut ipſe ego in Zacyntho vidi picem e lacu et aqua referri. Sunt eo loci quoque complures lacus, quorum qui maximus, ſeptuaginta quoquoverſus pedum eſt, altitudinis duûm orgyiarum. in hunc dimittunt contum, cujus in ſummitate myrtus alligata eſt, deinde efferunt myrto picem, odorem quidem bituminis habentem, ſed cetera praeſtantiorem pice Pieriâ: eamque in ſcrobem quam juxta lacum foderunt, infundunt, et ubi multum illius aggeſſerunt, ita e ſcrobe in amphoras transfundunt. Quicquid autem in lacum decidit, id ſub terram means rurſus apparet in mari, quod a lacu quatuor ſtadiis abeſt. Ita quae de inſula adjacenti Africae dicuntur, conſentanea ſunt veritati.

196. Ajunt praeterea Carthaginienſes, locum eſſe Africae extra columnas

Digitized by Google

Herculis habitatum hominibus: eo quoties ipſi applicuere, ſe merces e navibus exponere, eaſque in crepidine terrae ordine collocare; tum conſcenſis navibus fumum excitare: fumo autem conſpecto, indigenas ad mare contendere: dehinc auro pro mercibus poſito, procul ab eis abſcedere, tum ſe e navibus egreſſos conſiderare, et ſi dignum mercibus aurum videatur, eo ſumpto abire; ſin minus, conſcenſis iterum navibus conſidere. illos vero accedentes, plus auri ad id quod poſuerunt addere, donec perſuadeant. Neutros autem injuſte agere: neque enim illos aurum attingere, priuſquam illis adaequatum fuerit ratione mercium, neque illos contingere merces priuſquam ipſi ſumpſerint aurum.

197. Atque hi ſunt Afrorum quos nominare poſſumus. quorum plerique neque tunc de rege Medorum curabant

Digitized by Google

ἔξω Ἡρακλείων στηλέων κατοικημένους, ἐς τοὺς ἐπεὰν ἀπίκωνται καὶ ἐξέλωνται τὰ φορτία, θέντες αὐτὰ ἐπεξῆς [a] παρὰ τὴν κυματώγην, ἐσβάντες ἐς τὰ πλοῖα, τύφειν καπνόν· τοὺς δ' ἐπιχωρίους, ἰδομένους τὸν καπνὸν, ἰέναι ἐπὶ τὴν θάλασσαν· καὶ ἔπειτα ἀντὶ τῶν φορτίων χρυσὸν τιθέναι, καὶ ἐξαναχωρέειν πρόσω ἀπὸ τῶν Φορτίων. τοὺς δὲ Καρχηδονίους ἐκβάντας, σκέπτεσθαι [b]. καὶ ἢν μὲν φαίνηται σφι ἄξιος ὁ χρυσὸς τῶν Φορτίων, ἀπελόμενοι [c] ἀπαλλάσσονται· ἢν δὲ μὴ εἴη ἄξιος [d], ἐσβάντες ὀπίσω ἐς τὰ πλοῖα καθέαται· οἱ δὲ, προσελθόντες, ἄλλον πρὸς ὃν ἔθηκαν χρυσὸν, ἐς ὃ ἂν πείθωσι. ἀδικέειν δὲ ἀδελέρους· ἔστε γὰρ αὐτοὺς τοῦ χρυσοῦ ἅπλεσθαι πρὶν ἄν σφι ἀπισωθῇ τῇ [e] ἀξίῃ τῶν φορτίων, ἔτ' ἐκείνους τῶν φορτίων ἅπτεσθαι πρότερον ἢ αὐτοὶ τὸ χρυσίον λάβωσι.

ρϟζ'. Οὗτοι μέν εἰσι τοὺς ἡμεῖς ἔχομεν Λιβύων ὀνομάσαι· καὶ τστέων οἱ πολλοὶ βασιλῆος τοῦ Μήδων οὔτέ τι νῦν οὔτε

[a] ἐφεξῆς. [b] σκέψασθαι. [c] ἀνελόμενοι. [d] μὴ ἄξιος. [e] ἀπισωθείῃ τῇ.

Digitized by Google

τότε ἐφρόντιζον ὑδέν. τόσον δὲ ἔτι [f] ἔχω εἰπεῖν περὶ τῆς χώρης ταύτης, ὅτι τέσσερα ἔθνεα νέμεται ταύτην [g], καὶ ὑ πλέω τούτων, ὅσον ἡμεῖς ἴδμεν· καὶ τὰ μὲν δύο, αὐτόχθονα τῶν ἐθνέων, τὰ δὲ δύο, οὔ. Λίβυες μὲν καὶ Αἰθίοπες, αὐτόχθονες· οἱ μὲν, τὰ πρὸς βορέω, οἱ δὲ, τὰ πρὸς νότου τῆς Λιβύης οἰκέοντες· Φοίνικες δὲ καὶ Ἕλληνες, ἐπήλυδες.

ρϛή. Δοκέει δέ μοι οὐδὲ ἀρετὴν εἶναί τις ἡ Λιβύη σπουδαίη, ὥστε ἢ Ασίη ἢ Εὐρώπη παραβληθῆναι, πλὴν Κίνυπος μούνης. τὸ γὰρ δὴ αὐτὸ οὔνομα ἡ γῆ τῷ ποταμῷ ἔχει. αὕτη δὲ ὁμοίη τῇ ἀρίστῃ γαιῶν, Δήμητρος καρπὸν ἐκφέρειν· οὐδὲ οἵκε οὐδὲν τῇ ἄλλῃ Λιβύῃ. μελάγγαιός τε [h] γάρ ἐστι, καὶ ἔπυδρος πίδαξι, καὶ ὅτε αὐχμὸν φροντίζουσα ὑδὲν, ὅτε ὄμβρον πλέω ποιεῦσα, δεδήληται. ὕεται γὰρ δὴ ταῦτα τῆς Λιβύης. τῶν δὲ ἐκφορίων τοῦ καρποῦ ταυτὰ μέτρα τῇ Βαβυλωνίων γῇ κατίσαται.

[f] τοσοῦτον δὲ τι. [g] νέμεται αὐτὴν. [h] MS. tamen hîc habet μελάγγειός τε.

Digitized by Google

quicquam, neque nunc curant. De qua regione eatenus adhuc queo dicere, a quatuor eam nationibus, quantum nos ſcimus, et non a pluribus incoli: quarum duae ſunt indigenae, totidem non indigenae. Indigenae quidem, Afri atque Aethiopes: quorum alteri ad aquilonem, alteri ad notum Africae incolunt; advenae vero, Phoenices et Graeci.

198. Neque vero videtur mihi bonitas Africanae terrae cum bonitate Aſiae atque Europae comparanda, praeter unam Cinypem, quae tellus fluvio cognominis eſt. Haec autem optimae cuique telluri par eſt proventu fructus cerealis, nec omnino ſimilis eſt ceterae Africae. Eſt enim nigra glebis et uda fontibus, ac ſecura ſiccitatis aëris: ac ne imbre quidem, qui ſit vehementior, laeditur. nam in eo tractu Africae pluit. Ex proventibus autem fructuum terrae, totidem menſurae illic quot e Babylonica tellure per-

Digitized by Google

cipiuntur. Bonum ſolum et illud eſt, quod Eueſperitae colunt. nam quoties id eximie ſeipſum ubertate ſuperat, centuplum reddit: at illud Cinypis, circiter trecenta.

199. Porro Cyrenaica regio quae hujus Africae editiſſima eſt, quam paſtorales incolunt, tres in ſe tempeſtates continet admiratione dignas. Primi enim in locis propter mare fructus deſiderant meti vindemiarique: his comportatis, media in locis quae ſupra maritimam ſunt, quos bunos appellant comportari fructus appetunt: et ſimul hic medius fructus collectus eſt, etiam is qui in editiſſima plaga, maturuit et idem petit. Itaque primus fructus bibitur atque editur et ſimul adeſt ultimus. Atque hunc in modum ad octo menſes perceptio fructuum Cyrenaeos occupat. Haec hactenus de his dicta ſint.

200. Perſae autem ad ulciſcendam

Digitized by Google

ἀγαθὴ δὲ γῆ καὶ τὴν Εὐεσπερῖται νέμονται. ἐπ' ἑκατοσὰ γὰρ, ἐπεὰν αὐτὴ ἑωϋτῆς ἄρισα ἐνείκῃ, ἐκφέρει· ἡ δὲ ἐν τῇ Κίνυπι, ἐπὶ τριηκόσια.

ρϛθ'. Ἔχει δὲ καὶ ἡ Κυρηναίη χώρη, ἔϑσα ὑψηλοτάτη ταύτης τῆς Λιβύης τὴν οἱ Νομάδες νέμονται, τρεῖς ὥρας [a] ἐν ἑωϋτῇ, ἀξίας ϑωύμαλος [b]. πρῶτα μὲν γὰρ τὰ παραϑαλάσσια τῶν καρπῶν ὀργᾷ ἀμᾶϑαί τε καὶ τρυγᾶϑαι. τουτέων τε δὴ συγκεκομισμένων, τὰ ὑπερϑαλασσιδίων [c] χώρων τὰ μέσα ὀργᾷ συγκομίζεϑαι, τὰ βουνὸς καλέουσι. συγκεκόμισαί τε ἔτος ὁ μέσος καρπὸς, καὶ ὁ ἐν τῇ κατυπερτάτῃ τῆς γῆς πεπαίνεταί τε καὶ ὀργᾷ. ὥστε ἐκπέποταί τε καὶ καταβέβρωται ὁ πρῶτος καρπὸς, καὶ ὁ τελευταῖος συμπαραγίνεται. οὕτω ἐπ' ὀκτὼ μῆνας Κυρηναίους ὀπώρη ἐπέχει. ταῦτα μέν νυν ἐπὶ τοσοῦτον εἰρήσθω.

σ'. Οἱ δὲ Φερετίμης τιμωροὶ Πέρσαι,

[a] χώρας. [b] MS. ϑώμαλος. [c] τὰ ὑπὲρ τῶν ϑαλασσιδίων.

ἐπεί τε ἐκ τῆς Αἰγύπλυ ϛαλέντες ὑπὸ Αρυάνδεω, ἀπίκαλο [d] ἐς τὴν Βάρκην, ἐπολιόρκεον τὴν πόλιν, ἐπαγγελλόμενοι ἐκδιδόναι τὺς αὐτίυς τῦ Φόνου τοῦ Αρκεσίλεω. τῶν δὲ, (πᾶν γὰρ ἦν τὸ πλῆθος μελαίτιον) ὐκ ἐδέκονλο τὺς λόγυς. ἐνθαῦτα δὴ ἐπολιόρκεον τὴν Βάρκην ἐπὶ μῆνας ἐννέα, ὀρύσσοντές τε ὀρύγμαλα ὑπόγαια, Φέροντα ἐς τὸ τεῖχος, καὶ προσβολὰς καρτερὰς ποιεύμενοι. τὰ μέν νυν ὀρύγμαλα ἀνὴρ χαλκεὺς ἀνεῦρε, ἐπιχάλκῳ ἀσπίδι, ὧδε ἐπιφρασθείς· περιφέρων αὐτὴν ἐντὸς τῦ τείχεος, προίχε [e] πρὸς τὸ δάπεδον τῆς πόλιος. τὰ μὲν δὴ ἄλλα ἔσκε κωφὰ πρὸς ἃ προσίχε, κατὰ δὲ τὰ ὀρυσσόμενα ἤχεσκε ὁ χαλκὸς τῆς ἀσπίδος. ἀντορύσσοντες δ' ἂν ταύτῃ οἱ Βαρκαῖοι ἔκτεινον τῶν Περσέων τὺς γεωρυχέονλας. τοῦτο μὲν δὴ ὕτω ἐξευρέθη· τὰς δὲ προσβολὰς ἀπεκρύονλο οἱ Βαρκαῖοι.

σά'. Χρόνων δὲ δὴ πολλῶν τριβομένων,

[d] ἀπίχονλο. [e] προσίσχε.

Digitized by Google

Pheretimam ab Aryande miſſi, poſtquam ex Aegypto Barcen pervenerunt, oppidum obſederunt, miſſis illico qui denunciarent dedi autores necis Arceſilai. Eorum verbis oppidani, ut qui caedis omnes participes eſſent, non adnuerunt. Ita novem menſes Barcen quum obſediſſent Perſae ſubterraneos cuniculos fodientes ad murum ferentes, et validos incurſus fecerunt. ſed cuniculos quidem faber quidam aerarius deprehendit aereo ſcuto, ſic ratiocinans. Circumferens illud intra murum, admovebat pavimento urbis: et alia quidem quibuſcunque admovebatur, erant ſurda: ad locum autem qui fodiebatur, aes clypei ſonabat. ubi contra fodientes Barcaei, Perſas terrae foſſores intereme-runt. ſic quidem iſtud adinventum eſt. Irruptiones autem Barcaei ipſi repulſabant.

201. Verum quum multum tempo-

Digitized by Google

ris contereretur, et multi utrinque caderent, nec pauciores ex Perſis, Amaſis, dux peditatus, talem rem commentus eſt: Animadvertens Barcaeos vi non poſſe ſuperari, ſed dolo, hoc facit; latam foſſam per noctem depreſſit, eique fragilia ſuperſtravit ligna, et ſuper ea humum ingeſſit, reddens ſolum cetero aequabile. ſimulatque illuxit, Barcaeos in colloquium evocat. Illi libenter obtemperavere, quod eis cordi erat ad pactionem venire. Pactionem autem in hanc formulam inierunt, inter ſacra jurantes ſuper illam occultam foſſam: ut quoad humus ea ita ſe haberet, tamdiu foedus et jusjurandum ratum foret, Barcaeis, quod aequum foret ſe penſuros regi, et Perſis, ſe nihil rerum novarum adverſus Barcaeos eſſe molituros, promittentibus. Barcaei dehinc foederibus freti, et ipſi ex urbe prodibant, et ex hoſtibus cuicunque libebat intrandi urbem faciebant poteſtatem, pate-

Digitized by Google

καὶ πιπλόντων ἀμφοτέρων πολλῶν, καὶ ὐκ ἦσσον τῶν Περσέων, Αμασις, ὁ ϛραληγὸς τῦ πεζοῦ, μηχανᾶται τοιάδε· μαθὼν τοὺς Βαρκαίους, ὡς κατὰ μὲν τὸ ἰσχυρὸν οὐκ αἱρετοὶ εἶεν, δόλῳ δὲ αἱρετοὶ, ποιέει τοιάδε [a]· νυκτὸς τάφρην [b] ὀρύξας εὐρέην, ἐπέτεινε ξύλα ἀσθενέα ὑπὲρ αὐτῆς· κατύπερθε δὲ ἐπιπολῆς τῶν ξύλων χῦν γῆς ἐπεφόρησε, ποιέων τῇ ἄλλῃ γῇ ἰσόπεδον. ἅμα ἡμέρῃ δὲ ἐς λόγυς προσεκαλέετο τοὺς Βαρκαίυς· οἱ δὲ ἀσπαϛῶς ὑπήκυσαν, ἐς ὅ σφι ἔαδε ὁμολογίῃ χρήσασθαι. τὴν δὲ ὁμολογίην ἐποιεῦντο τοιήνδέ τινα. ἐπὶ τῆς κρυπτῆς τάφρου τάμνοντες ὅρκια, ἔϛ' ἂν ἡ γῆ αὕτη οὕτω ἔχῃ, μένειν τὸ ὅρκιον κατὰ χώρην· καὶ Βαρκαίους τε ὑποτελέην [c] φάναι ἀξίην βασιλέϊ, καὶ Πέρσας μηδὲν ἄλλο νεοχμοῦν κατὰ Βαρκαίους [d]. μετὰ δὲ τὸ ὅρκιον, Βαρκαῖοι μὲν πιϛεύσαντες τύτοισι, αὐτοί τε ἐξήεσαν ἐκ τῦ ἄϛεος, καὶ τῶν πολεμίων ἔων παριέναι ἐς τὸ

[a] τάδε. [b] τάφρον. [c] ὑποτελίων. [d] Βαρκαίων.

τεῖχος τὸν βυλόμενον, τὰς πύλας πάσας ἀνοίξαντες. οἱ δὲ Πέρσαι καταῤῥήξαντες τὴν κρυπτὴν γέφυραν, ἔθεον ἔξω [e] ἐς τὸ τεῖχος· κατέῤῥηξαν δὲ τῦδε εἵνεκα τὴν ἐποίησαν γέφυραν, ἵνα ἐμπεδορκέοιεν, ταμόντες τοῖσι Βαρκαίοισι χρόνον μένειν αἰεὶ τὸ ὅρκιον ὅσον ἂν ἡ γῆ μένῃ κατὰ τὰ τότε εἶχε· καταῤῥήξασι δὲ, ὑκέτι ἔμενε τὸ ὅρκιον καλὰ χώρην.

σϐ'. Τὺς μέν νυν αἰτιωλάτυς τῶν Βαρκαίων ἡ Φερετίμη, ἐπεί τε οἱ ἐκ τῶν Περσέων παρεδόθησαν, ἀνεσκολόπισε κύκλῳ τῦ τείχεος· τῶν δέ σφι γυναικῶν τὺς μαζοὺς ἀποταμῦσα, περιέσιξε καὶ τύτοισι τὸ τεῖχος. τὺς δὲ λοιπὺς τῶν Βαρκαίων, ληΐην ἐκέλευσε ϑέσθαι τοὺς Πέρσας, πλὴν ὅσοι αὐτέων ἦσαν Βατλιάδαι τε καὶ τῦ Φόνυ ὑ μελαίτιοι· τύτοισι δὲ τὴν πόλιν ἐπέτραψε ἡ Φερετίμη.

σγ'. Τὺς ὧν δὴ λοιπὺς τῶν Βαρκαίων οἱ Πέρσαι ἀνδραποδισάμενοι [f] ἀπήεσαν ὀπίσω· ϗ ἐπεί τε ἐπὶ τῇ Κυρηναίων πόλι

[e] ἔθιον ἴσω. [f] ἐξανδραποδισάμενοι.

Digitized by Google

factis omnibus portis. At Persae rescisso ponte occulto in urbem foras proruperunt: id eo autem pontem quem fecerant rescinderunt, ut starent jurejurando, quo cum Barcaeis pacti erant, tamdiu ratum fore foedus quamdiu maneret terra in statu, quem tunc habebat: refracto enim ponte, non manebat jusjurandum in suo loco amplius.

202. Pheretima deditos sibi a Persis Barcaeos qui faciendae caedis principes fuerant, crucibus suffixit per ambitum murorum. Feminarum quoque decisas mammas circa muros appendit. Ceteros Barcaeos Persis ut diriperent imperavit, praeter Battiadas, et qui caedis affines non extiterant, hisque urbem permisit Pheretima.

203. Reliquis igitur Barcaeorum in servitutem abreptis Persae redierunt. qui quum ad urbem Cyrenen rediissent, Cy-

Digitized by Google

renaei eos oraculi cujuſdam ſervandi gratia, per urbem deduxerunt. ſed inter tranſeundum praefectus navalis exercitus Bares illis praecepit, ut urbem diriperent, recuſante Amaſi peditum duce. ſe enim adverſus unam Barcen Graecam civitatem eſſe miſſos. Verum poſtquam tranſierunt, et ad collem Lycaei Jovis ſubſederunt, poenitentia eos ſubiit quod Cyrenen non occupaſſent: eamque iterum ingredi conati ſunt, Cyrenaeis non permittentibus. Et licet nemo contra ferret arma, tamen inceſſit eis metus: illincque curſu ſe proripientes ſexaginta circiter ſtadia conſederunt. ubi ſtativa habentibus, ab Aryande nuncius advenit ad eos revocandos. Quum igitur a Cyrenaeis commeatum ſibi praeberi precati eſſent Perſae, et eum accepiſſent, in Aegyptum revertebantur. Quos deinde Afri excipientes, veſtitus atque utenſilium gratia, ut quiſque relinquebatur trahebaturque, interficiebant, donec in

Digitized by Google

ἐπέσησαν, οἱ Κυρηναῖοι λόγιόν τι ἀποσει-
εύμενοι διεξῆκαν αὐτοὺς διὰ τῦ ἄρεος. δι-
εξιόσης δὲ τῆς στρατιῆς, Βάρης μὲν ὁ τοῦ
ναυλικῦ στραῦ στραληγὸς ἐκέλευε αἱρέειν τὴν
πόλιν, Αμασις δὲ ὁ τῦ πεζοῦ, ὐκ ἔα· ἐπὶ
Βάρκην γὰρ ἀποσαλῆναι μόνην Ἑλληνίδα
πόλιν. ἐς ὃ διεξελθῦσι, κὴ ἰζομένοισι ἐπὶ Δι-
ὸς Λυκαίου ὄχθον [a], μετεμέλησέ σφι οὐ
χῦσι τὴν Κυρήνην, κὴ ἐπειρῶντο τοδεύτε-
ρον παριέναι ἐς αὐτήν. οἱ δὲ Κυρηναῖοι οὐ
περιώρεον. τοῖσι δὲ Πέρσῃσι, ὐδενὸς μαχο-
μένυ, φόβος ἐνέπεσε· ἀποδραμόντες δὲ ὅσον
ἑξήκοντα στάδια, ἵζοντο. ἱδρυθέντι δὲ τῷ στρα-
τοπέδῳ ταύτῃ ἦλθε παρὰ Αρυάνδεω ἄγ-
γελος, ἀποκαλέων αὐτούς. οἱ δὲ Πέρσαι,
Κυρηναίων δεηθέντες ἐφόδιά σφι [b] δοῦναι,
ἔτυχον. λαβόντες δὲ ταῦτα, ἀπαλλάσ-
σοντο ἐς τὴν Αἴγυπτον. παραλαβόντες δὲ
τοενθεῦτεν αὐτὰς Λίβυες, τῆς τε ἐωθῆτος
εἵνεκα κὴ τῆς σκευῆς, τὰς ὑπολειπομένους
αὐτέων καὶ ἐπελκομένους ἐφόνευον, ἐς ὃ

[a] ὄχθην. [b] ἐπόδιά σφι.

ἐς τὴν Αἴγυπτον ἀπικέατο [c].

σδ'. Οὗτος ὁ Περσέων στρατὸς τῆς Λιβύης ἐκαστάτω ἐς Εὐεσπερίδας ἦλθε. τοὺς δὲ ἠνδραποδίσαντο τῶν Βαρκαίων, τούτους δὲ ἐκ τῆς Αἰγύπτου ἀναστάτους ἐποίησαν παρὰ βασιλῆα. βασιλεὺς δέ σφι Δαρεῖος ἔδωκε τῆς Βακτρίης χώρης κώμην ἐγκατοικῆσαι. οἱ δὲ τῇ κώμῃ ταύτῃ οὔνομα ἔθεντο Βάρκην, ἥπερ ἔτι κῆ ἐς ἐμὲ ἦν οἰκεομένη ἐν τῇ γῇ τῇ Βακτρίῃ.

σε'. Οὐ μὲν οὐδὲ ἡ Φερετίμη εὖ τὴν ζόην κατέπλεξε. ὡς γὰρ δὴ τάχιστα ἐκ τῆς Λιβύης τισαμένη τοὺς Βαρκαίους ἀπενόστησε ἐς τὴν Αἴγυπτον, ἀπέθανε κακῶς. ζῶσα γὰρ εὐλεῶν ἐξέζεσε. ὡς ἄρα ἀνθρώποισι αἱ λίην ἰσχυραὶ τιμωρίαι πρὸς θεῶν ἐπίφθονοι γίνονται. ἡ μὲν δὴ Φερετίμης τῆς Βάττεω τοιαύτη τε καὶ τοσαύτη τιμωρίη ἐγένετο ἐς Βαρκαίους.

[d] MS. ἀπίκοντο.

ΤΟ ΤΗΣ
ΜΕΛΠΟΜΕΝΗΣ,
ΗΤΟΙ
ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΤΩΝ ΗΡΟΔΟΤΟΥ
ΤΕΛΟΣ.

Digitized by Google

Aegyptum perventum eſt.

204. Hic Perſarum exercitus in Africam longiſſime ad Eueſperidas proceſſit. Quos autem Barcaeorum cepere, eos ex Aegypto eduxere ad regem; iis Darius rex ad incolendum dedit vicum Bactrianae regionis, (cui vico nomen impoſuere Barcae) ad meam uſque memoriam etiam incolis in Bactriana regione frequentem.

205. Verum ne ipſa quidem Pheretima facilem vitae finem habuit. nam ſimulatque ulta Barcaeos ex Africa in Aegyptum rediit, male periit. Vivens enim vermibus exaeſtuavit. Sic acres admodum ultiones hominibus ſunt invidioſae apud Deos. Talis ac tanta Pheretimae Batti filiae in Barcaeos vindicta extitit.

MELPOMENES,
SIVE
QUARTI LIBRORUM HERODOTI,
FINIS.

Digitized by Google

Z

5.10.510
PH 32978

Digitized by Google

5.10.510

Digitized by Google

Digitized by Google

005662342

Digitized by Google

Digitized by Google

Digitized by Google